propius accedit XXVI 6 (qui legitur etiam in Etymol. Vindob. p. 67) nbi dicit: *λόγον δὲ αὐτοῖς θεὸς ἔδωκε πρὸς τὰς ἁπάντων εὐπορίας ἀντίρροπον κτλ.* Fortasse Empedocles princeps huius sententiae auctor, cf. Plut. de fort. c. 3: *Ἐπεὶ τύχῃ γε καὶ φύσει γενέσεως ἄμεινον τὰ πλεῖστα τῶν ἀλόγων κέχρηται· τὰ μὲν γὰρ ὥπλισται κέρασι καὶ ὀδοῦσι καὶ κέντροις, αὐτὰρ ἐχίνοις, φησὶν Ἐμπεδοκλῆς, ὀξυβελεῖς χαῖται νώτοις ἔπι πεφρίκασι, καὶ ὑποδέδεται καὶ ἠμφίεσται φολίσι καὶ λάχναις, καὶ χηλαῖς καὶ ὁπλαῖς ἀποκρότοις· μόνος δὲ ὁ ἄνθρωπος, κατὰ Πλάτωνα, γυμνὸς καὶ ἄνοπλος καὶ ἀνυπόδετος καὶ ἄστρωτος ὑπὸ τῆς φύσεως ἀπολέλειπται· ἀλλ' ἓν διδοῦσα πάντα μαλθάσσει κακά, τὸν λογισμὸν καὶ τὴν ἐπιμέλειαν καὶ τὴν πρόνοιαν.* — V. 128. *λόγον* V4(P), vulgo *λόγος*, VaB *λόγον δ' ὅς ἐστιν ἄριστος*, M *λόγων* (supra *λόγον*) *δὲ ὅς ἐστιν ἄριστον.* Similiter ap. Stob. Voss. et Trinc. *λόγον δ' ὅς ἐστιν ἄριστος Ἀνθρώπων* (Trinc. *ἀνθρώπῳ*) *νεῖμεν· βέλτερος δ'* (*δ'* om. Trinc.) *ἀλκ.* — V. 129, quem omittunt MBA2 (sed sec. m. add.) ab hoc loco plano alicnus: plerique manifesta cbristianae doctrinae vestigia sibi deprehendisse videntur, quemadmodum etiam Bernays ab homine Byzantino adiectum esse existimat. At poterat hic versus inseri ab homine Iudaeo, qui Pbilonis sectam sequebatur. Frustra versum tneri studet Goram, qui v. 128 scribit *λόγων δ' ἔρ. ἀνθρ.* — V. 130 affert Apostolins IV 89 A. Arsen. 140. — *ἔφυ*, M *ἔφ.* — V. 131. *σοφίη*, A1 Stobaens *σοφία.* Post hunc versnm PB addnnt: *μήτ' ἀδικεῖν ἐθέλοις μήτ' οὖν ἀδικοῦντ'* (P *ἀδικοῦντα*) *ἐάσῃς*, id est v. 21. — V. 132 et 133 leguntnr ap. Boisson. Anecd. I 119. — *τὸν*, V1 *τὴν.* — *ἀτάσθαλον*, Mpr. *ἀτάσθαλος.* — *ἄνδρ' ἀνέλεγκτον* V1 et Boisson. An., *ἄνδρ' ἀνάδεκτον* Va et B, *ἄνδρα ἄδεκτον* M, *ἄνδρα ἄδικον* T, *ἄνδρα ἄτιτον* PA1, *ἄνδρα ἄδεικτον* vulgo. Hic desinit V4. — V. 133. *χρὴ*, Boiss. An. *τὸν.* — *κακοεργὸν*, V1 *ταλαεργὸν*, B *κακῶν*, M *κακόν.* — *ἀποτρωπᾶσθαι* scripsi, V1 *κακοτρο*$^{\omega}$*πάασθαι*, Va *ἀποτροπάσασθαι*, M *ἀπογροπαασθαι*, sed *αα* ex corr. — *ἀνάγκῃ*, Bernays *ἐναργῆ* scripsit. — V. 134 om. Ma. — *πολλάκι*, V2 *πολλάκις* — *κακοῖς*, B *αὐτοῖς.* — V. 135. *φωρῶν*, P (a m. pr.) V1 *φωρός*, B *φῶρον*, Goram *φωτῶν* coniecit. — *κλοπίμην*, *κλοπίμων* P(a m. s.)M, *κλοπήμων* B, *κλόπιμον* V2. — *ἀδίκων* MVaBV2TP(a m. s.), *ἄδικον* V1P (a m. pr.), vulgo *ἀνδρῶν.* — *παραθήκην*, V1 *πακαταθήκην.* — V. 137. *μοίρας πᾶσι*, Ma *μοίρας παισὶ* (corr. *πασσὶ*), *μοῖραν πᾶσι* ut vulgo MVa V12, nisi quod M *μοίρας* habere videtur, *μοίραις* B, Brunck *μοίρας* (cx uno cod.) *παισί* (ex duobus). — *ἰσότης*, Mpr. P *ἰσότητος.* — *ἄριστον* BMVa, vulgo *ἀρίστη.* — In iis quae subsequuntur, usque ad v. 152, iustus sententiarum ordo prorsus desideratur. Iam Scaliger v. 139 ante v. 147 collocandum esse perspexit. Bernays totum locum in huncordinem redegit 137. 138. 143. 144. 140. 141. 142. 145. 139. 147. 148. 149. 150. 151. 146. 152.

Ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύῃ.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕληαι.
Κτῆνος κῆν ἐχθροῖο πέσῃ καθ' ὁδόν, συνέγειρε·
πλαζόμενόν τε βοτὸν καὶ ἀλίτροπον οὐχ ὑπαλύξεις.
βέλτερον ἀντ' ἐχθροῦ τεύχειν φίλον εὐμενέοντα.
Ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι·
ἐξ ὀλίγου σπινθῆρος ἀθέσφατος αἴθεται ὕλη·
Ἐγκρατὲς ἦτορ ἔχειν, τῶν λωβητῶν δ' ἀπέχεσθαι.
φεῦγε κακὴν φήμην, φεῦγ' ἀνθρώπους ἀθεμίστους. 369
μηδέ τι θηρόβορον δαίσῃ κρέας· ἀργίποσιν δὲ
λείψανα λεῖπε κυσίν· θῆρες δ' ἀπὸ θηρὸς ἔδονται.
φάρμακα μὴ τεύχειν· μαγικῶν βίβλων ἀπέχεσθαι.

Mihi sic potins hacc digerenda videntnr 137. 140...2. 138. 143...5. 139. 147...51. 146. [152]. Longe aliter Goram 137...9. 147...50. 140...2. 151. 143...6. 152. — V. 138. *ἐπιδεύῃ* V2, *ἐπιδευὴς* B, *ἔπ δεύεις* Mpr. (idem *τέρμ'* in rasura), vulgo *ἐπιδεύῃς*. — V. 139. *κτήνους*, M *κτείνους*. — *ἕληαι*, T *ἕλκε*. Versus haud dubie corruptns, sed quod Bernays scripsit, *κατὰ λίτραν ἕληαι* et metro refragatur, nec sententiae convenit; nam carne mortuorum animalium omnino abstinendnm, non solum si in foro venale prostat, sic enim interpretatnr Bernays id quod coniecit. Ego scribendnm puto *μὴ κτήνους θνητοῖο βορὴν κενέβρειον ἕληαι.* inest sane abundatia quaedam, sed huius verborum copiae exempla alia in hoc carmine extant, velut v. 135. Sin minus placet, fortasse hic versus temere ex duobus est concinnatus. — V. 140. *κῆν* P(a m. pr.)V1Va, vulgo *δ' ἦν*, Mpr. *κτεῖνος δ' ἦν ἐρροῖο*, corr. *ἐχθροῖο*. — *συνέγειρε* TV1BM, *συνέγειραι* Va, *συνέγειρον* vulgo. — V. 141. *τε* MVaA1, vulgo *δὲ*, V2 *τὸν* (*βρωτὸν.*) — *βοτὸν* Bernays, legebatnr *βροτὸν*, nisi quod V2 *βρωτὸν*. — *ἀλίτροπον* vulgo, MA1 *ἀλίτροπον*, PV1 et Brunckii codd. *ἀλήμονα*, Goram *ἀλιτρόπον* scribit, qnod *ἀλιτρόπουν* esse commentns est. — *οὐχ ὑπαλύξεις* vulgo, V1 *μήποτ' ἀλύξεις*, P *μήτ' ἀπολέγξῃς*, M *οὔ ποτ' ἀλύξῃς* sed *ἀλύξῃς* in rasura, Va *δεῖ ποτ' ἀλεξεῖν*, Bar. et Brunckii codd. *οὔ ποτ' ἐλέγξῃς*, V2(T) *ὑπαλύξεις* omisso *οὐχ*. Bernays *κατ' ἀταρπιτὸν οὔ ποτ' ἀλύξεις* scripsit, parum apte: coniicio *πλαζόμενόν τε βοτὸν κάταγ' ἀτραπὸν οὐχ ὑπαλύξας* vel *κατάγειν δόμον οὐχ ὑπαλύξεις*. In proecdosi scripseram *πλαζόμενον δὲ βροτὸν καὶ ἀλήμονα μή ποτ' ἐλέγξῃς*. Cf. praeter Exod. 23, 5 Philo II 391 et 394. — V. 142. *βέλτερον ἀντ'*, V2 *βέλτιον*. — *ἐχθροῦ*, *ἐχθροῖο* B Brunckii codd. — *τεύχειν* V2, *τυχεῖν* Brunckii codd., *τ' ἔχειν* B, *τυχέειν* A1 nt vulgo. — *φίλον εὐμενέοντα* TB (nisi quod *εὖ μὲν ἐόντα*) et Brunckii codd., PV1A1 *φίλον εὐμενέοντος* ut vulgo. Ex M *ἐχθροῦ* et *εὐμενέοντα* enotatum, fort. *τεύχειν φίλον* (*τυχεῖν φίλον*) ibi plane omissa sunt. — V. 143. *κόπτειν*, *ἕλκος*, BMpr. *ἕλκος κόπτειν*. — *τ'* om. Mpr. — V. 144. 145. 146 accesserunt ex V1. — V. 145. *ἔχειν*, *τῶν* scripsi, cod. *ἔχει*. — V. 146. *φεῦγ' ἀνθρ.* cod. *φεῦγε ἀνθρ.* — V. 147. *θηρόβορον*, Va *θηροφθόρον*, A1B *θηριοβόρον*. Permire Nanck *θήρειον* coniecit. Ceterum cf. Levitic. 5, 2 Philo II 355. — *ἀργίποσιν*, B *ἀργείποσιν*, M *ἀργήποσιν*. — V. 148. *θῆρες δ' ἀπὸ θηρὸς* PV1, vulgo *θηρῶν ἄπο* (M *ἀπὸ*) *θῆρες*. — V. 149. *τεύχειν*, T *τέυχε*, A1 *τεύχον*. — *βίβλων*, Va *βιβλίων*. Bernays *λήρων* coniecit: at ut apud Aegyptios magicarum artium antiqua satis consuetudo, ita haud dubie his saeculis iam dudum libri extabant, quibus artis arcana tradita fuerunt. Ceterum cf. Philo II 315.

νηπιάχους ἀταλοὺς μὴ μάρψῃς χειρὶ βιαίως.
φεῦγε διχοστασίην καὶ ἔριν, πολέμου προσιόντος.
[μὴ κακὸν εὖ ἔρξῃς· σπείρειν ἴσον ἔστ' ἐνὶ πόντῳ.]
Ἐργάζευ, μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύῃς·
πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
τέχνη τοι τρέφει ἄνδρας· ἀεργὸν δ' ἴψατο λιμός.
μηδ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης·
ἀλλ' ἀπὸ τῶν ἰδίων βίοτον διάγοις ἀνυβρίστως.
εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλλῃ.
ἔστι βίος πᾶν ἔργον, ἐπὴν μοχθεῖν ἐθέλησθα.
ναυτίλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα·
εἰ δὲ γεηπονίην μεθέπειν, μακραί τοι ἄρουραι.
οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
οὐδ' αὐτοῖς μακάρεσσι· πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
μύρμηκες, γαίης μυχάτους προλελοιπότες οἴκους,

V. 150. *νηπιάχους ἀταλοὺς μὴ μάρψῃς χειρὶ βιαίως* scripsi, probante Bernaysio, nisi quod *βιαίᾳ* praefert MB *νηπιάχοις ἀταλοῖς* (M corr. *ἀπαλοῖς*) *μὴ μαψη* (M supra *μάρψη*) *χεῖρα βιαίως*, Va *νηπιαχοις ἀταλοῦ μη μάρψη χειρα βιαιως*, V12A1 *νηπιάχοις ἀπαλοῖς μὴ μάρψῃ χεῖρα βιαίως*, ut vulgo; ceterum Va exhibet hunc versum infra post v. 205. Brunck *νηπιάχων ἀπαλῶν μὴ ἅψῃ* (*μὴ ἅψῃ* unus cod.) *χειρὶ βιαίᾳ*. — V. 151. *διχοστασίην* PMVaV12, *διχοστασίας* Brunck ex uno cod. — *προσιόντος*, V1 *παριόντος*, sed in marg. vulg. — V. 152. *ἔρξῃς*, V2 *ἔρξεις*. — *ἴσον*, *ἴσω* A1. In M versus ab alia m. additus, Bar. om. versum. Hic versus quem M1 et Bar. ignorant, ut a reliquorum societate alienus, ita non a carminis auctore profectus, sed ab alio postea additus videtur, qui volebat quodammodo redarguere praeceptum v. 140—142: itaque cancellis sepsi; ceterum fortasse antiquioris est poetae. — V. 153. *ἐργάζευ*, M *ἐργάζου*, V1 *ἐργάζεο*. — *βιοτεύῃς*, V2B *βιοτεύεις*, VaPA1M *βιοτεύσῃς*. — V. 154. *ζώει*, V1Mpr. *ζώη*. — V. 155 accessit ex V1. — *τέχνη τοι* scripsi, cod. *τέχνη*. — *ἄνδρας* scripsi, cod. *ἄνδρα*. — Ceterum multo commodius hic versus post v. 157 legeretur, quo loco inserendum censet Bernays: nihil tamen novavi, cum nesciamus, utrum ab ipso carminis auctore profectus, an aliena manu insertus sit. — V. 156. *ἔδοις*, *ἔδῃς* V12. — V. 157. *τῶν ἰδίων*, Va *τοῦ ἰδίου*, V2A1 *τῶν οἰκείων*. — *βίοτον διάγοις* scripsi, *ἄγεις βιότον* V1, *βιότων φαγε . .* V2, *βιότοιο φάγοις* Va, *βιότων φάγοις* M, *βιώτων φάγοις* A1, *μισθῶν φάγεις* B, *βιότων φεύγοις* PT, vulgo *βιότων φαγέοις*. — *ἀνυβρίστως* MV2, *ἀνύβριστος* A1V1 ut vulgo, Brunck ex uno cod. *ἀνύβριστα*. — V. 158—161 in M leguntur post v. 165, sed litteris in m. additis iustus ordo restituitur. — *εἰ*, V2 *ἦν*. — *δεδάηκε*, P *δεδάητο*. — *τέχνην*, *σκάπτοιτο*, Bar. *τέχνης σκάπτοιο*, *τέχνης* etiam MP. Fort. legendum *σκάπτοι γε δικέλλῃ*, Goram *ἅπτοιτο δικέλλης*. — V. 159. *βίος* scripsi, vulgo *βίῳ*, V2 *βίων*. — *ἐπὴν* PV1, *ἐπὰν* A1, *ἐφ' ᾧ* B, vulgo *ἐπεί*. — V. 160. *εἰ*, PV12 *εἶ*. — *πλώειν*, V2 *πλεῖν*, Va *πλόον*, P *πλώει*. — *ἐθέλεις*, Mpr. *ἐθέλῃς*, corr. *εις* vel *οις*, V2 BP *ἐθέλοις*. — V. 161. *δὲ* om. M. — *γεηπονίην* PV1, vulgo *γεωπονίην*, TV2 *γεωπονεῖν*, Mpr. *γέῃς πονέην* — *μεθέπειν*, PV2 *ἐθέλοις*. — *τοι*, Mpr. *τε*. — V. 162. *καμάτου*, B *καμάτων*. Sch. Hermog. Rhett. T. V. 441 hunc versum tanquam oraculi dictionem affert. — V. 163 deest in MB. — V. 164. *μυχάτους*, V2 *μυχάτοις*. — *προλελοιπότες*, V1 *προλελοίπασιν*.

ἔρχονται βιότου κεχρήμενοι, ὁππότ' ἄρουραι
λήϊα κειράμεναι καρπῶν πλήθωσιν ἀλωάς·
οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν,
ἢ κριθῶν· αἰεὶ δὲ φέρων φορέοντα διώκει,
ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην συνάγοντες
ἄτρυτοι· φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
κάμνει δ' ἠεροφοῖτις ἀριστοπόνος τε μέλισσα
ἢ πέτρης κοίλης κατὰ χηραμὸν ἢ δονάκεσσιν
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σίμβλων
σμήνεσι μυριότρητα κατ' ἄνθεα κηροδομοῦσα.
Μὴ μείνῃς ἄγαμος, μή πως νώνυμνος ὄληαι·
δός τι φύσει καὐτός· τέκε δ' ἔμπαλιν, ὡς ἐλοχεύθης.
Μὴ προαγωγεύσῃς ἄλοχον, σέο τέκνα μιαίνων·
οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα.
μητρυιῆς μὴ ψαῦε τὰ δεύτερα λέκτρα γονῆος·
μητέρα δ' ὣς τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
μηδ' ἐπὶ παλλακίοις πατρὸς λεχέεσσι μιγείης.
μηδὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν.
μηδὲ γυνὴ φθείροι βρέφος ἔμβρυον ἔνδοθι γαστρός,

V. 165. βιότου V1MVaB, βίοτου P, vulgo βιότοιο. — ὁππότ', V2 ὁπότ'. Deinde Goram legendum edixit ὁππότ' ἀρούραις λήϊα κειράμενοι, ut de formicis sit sermo, satis infeliciter: vid. Lobeck ad Phrynichum 319. — V. 166. καρπῶν, Mpr. A1 καρπὸν. — πλήθωσιν MBP, vulgo πλήθουσιν, βρίθουσιν V1, unde fort. βρίθωσιν scrib. — V. 167. οἱ δ', MVaV2Mab οὐδ'. — αὐτοὶ, V12 αὐτ'. — πυροῖο, in M litterae extremae erasae. — V. 168. αἰεὶ A1 et cod. Paris. ap. Schneidew., v. ἀεί. — δὲ, TV2 δ' ὁ, P καὶ. Deinde A1 φέρω φέροντα. — V. 169. συνάγοντες V1, ἐσάγοντες B, ἐπάγοντες vulgo. — V. 170. ἄτρυτοι Brunck (V1), ἄτρυτον VaPM ut vulgo, ἄτρητον A1V2. — φῦλον, M φίλον, idem a pr. m. τ' ἐθέλει. — V. 171—74 affert Schol. Nicand. Alex. 448. — ἠεροφοῖτις Brunck ex uno cod., M ἠεροφοίτης, Schol. Nic. VaV2 ἠερόφοιτος ut vulgo, A1 ἠμερόφοιτος, V1 ἠεριφοῖτις, B ἱεροφοίτης. — ἀριστοπόνος, Va ἀριστοφόνος. — V. 172. ἢ Va, vulgo ἠὲ, A1 ἠὲ πέτρης ἢ κοίλης et ἢ δονακ. — χηραμὸν, Schol. Nic. cod. Riccard. et Marc. κατὰ χιράδος (χοιράδος). — V. 173. κοιλάδος, Bernays κοιλάδας scripsit. — σίμβλων, V2 σίμβλον. — V. 174. σμήνεσι, M εσι ex corr., B σμήνησι. — μυριότρητα MBTA1 Schol. Nic. μυριότητα. — ἄνθεα, Ruhnken coni. ἄγγεα (atque ita exhibet ut videtur cod. Gott. schol. Nic.), ego ἤθεα. — κηροδομοῦσα, T κηροδονοῦσα. — V. 175. μή πως, V1 ὅπως. — νώνυμνος B, νώνυμος V12PA1 ut vulgo. — V. 176. τι, V12 τῇ, Mpr. τη. — V. 177. προαγωγεύσῃς M in ras. — ἄλοχον, V1 ἄλογον. — V. 178. μοιχικὰ, V1 μοιχική. — V. 179. ψαῦε τὰ unus Brunckii cod., ψαῦε τε duo reliqui, ψαύετε MV1P, ψαύε τὲ V2, ψαύεται B, ψεῦδε τε Va, ψαῦέ γε A1 et vulgo. — λέκτρα, MA1 τέκνα. — V. 180 in M legitur μητέρα σεῖο τίμα, κρεῖσσον γὰρ ἂν ἤχνια βᾶσαν. — V. 181. 182 hoc ordine Va et P, vulgo inverso ordine leguntur. — παλλακίοις, vulgo παλλακίοισι, PB παλλακίσι, A1 παλλακίσσι, V1 παλλακῇσι, V2 παλλακοῖσι. V. 182 Mpr. ἀπότρον. — V. 183. φθείροι V2P, vulgo φθείρῃ ut M.

μηδὲ τεκοῦσα κυσὶν ῥίψῃ καὶ γυψὶν ἕλωρα.
μηδ' ἐπὶ σῇ ἀλόχῳ ἐγκύμονι χεῖρα βάληαι.
μηδ' αὖ παιδογόνον τέμνειν φύσιν ἄρσενα κούρου·
μηδ' ἀλόγοις ζώοισι βατήριον ἐς λέχος ἐλθεῖν·
μηδ' ὕβριζε γυναῖκ' αἰσχυντηροῖς λεχέεσσιν.
μὴ παραβῇς εὐνὰς φύσεως ἐς κύπριν ἄθεσμον· 371
οὐδ' αὐτοῖς θήρεσσι συνεύαδον ἄρσενες εὐναί.
μηδέ τι θηλύτεραι λέχος ἀνδρῶν μιμήσαιντο.
μηδ' ἐς ἔρωτα γυναικὸς ἅπας ῥεύσῃς ἀκάθεκτος.
οὐ γὰρ ἔρως θεός ἐστι, πάθος δ' ἀΐδηλον ἁπάντων.
μηδὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
στέργε τεὴν ἄλοχον· τί γὰρ ἡδύτερον καὶ ἄρειον,
ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρις,

V. 184. ῥίψῃ, B ῥίψῃς. — V. 185 subiunxi versui 184, vulgo legitur: *Μηδ' αὖ παιδογόνον . . . μηδὲ τεῇ ἀλόχῳ . . .* In V12PA12M leguntur hoc ordine v. 185. 190. 186. — *μηδ' ἐπὶ σῇ* V1P, *μηδέ τι σῇ* BMV2, *μηδέ τις ἢ* Va, *μηδέ τις ἢ* A1P in m., *μηδὲ τεῇ* Brunckii cod. unus — *βάληαι* MVaBV12TP, *βάληται* A1, v. *βάλοιο*. — V. 186. *τέμνειν φύσιν ἄρσενα κούρου* V1, vulgo *ποτὲ τέμνειν ἄρσενα κοῦρον*, M *τέμνειν ἄρσενα κοῦρον*. — V. 187. *ζώοισι*, A1 *ζώοις*, idem *εἰς*. — *ἐλθεῖν* PV1MVa ut vulgo, Brunck *ἔλθοις* ex uno cod. — V. 188. *γυναῖκ' αἰσχυντηροῖς* correxi, V1 *γυναῖκα ἐπ' αἰσχυντῆρ'*, V2 *γυναῖκα αἰσχυντικοῖς*, P *γυναῖκας ἐπ' αἰσχυντικοῖς*, M *γυναῖκα ἐπ' ἐσχυντοῖς*, Va *γυναῖκα ἀπαισχύντοις*, A1 et vulgo *γυναῖκα ἐπ' αἰσχυντοῖς*, Bernays *γυναῖκας ἐπ' αἰσχυντοῖς*. — *λεχέεσσι* V1A1 ut vulgo, *ἐπέεσσι* V2M, *χειλέεσσι* PVa, qui ponit hunc versum post v. 191, *χείλεσσι* Brunck ex codd. duobus. — V. 189. *ἐς κύπριν*, V2 *εἰς κοῖτον*, M *κύπριν* in rasura. Post hunc versum haud dubie alius excidit: nam debebat poeta plane puerorum amorem interdicere, quemadmodum statim in prooemio praeter cetera *ἄρσενα κύπριν ὀρίνειν* vetat: v. 189 latius patet, nam pariter ad v. 191 pertinet. Fortasse talis versus intercidit:

μηδὲ βιάζεσθαι παιδὸς φύσιν ἄρσενος ἄνδρα.

Tanquam Serapidis oraculum edidit hunc versum cum alio: *εἰς αἰσχρὰν συνέλευσιν, ἐπεὶ φόνῳ εἴκελόν ἐστιν* Piccolos p. 189: cf. Mommsen Schol. Pind. 2. — V. 190. Hic versus post v. 185 collocatur in BV12PA3Mab, et ut videtur etiam in MVa, sed vulgatum ordinem servavi. — *θήρεσσι συνεύαδον ἄρσενες εὐναὶ* Victorius ex Sambuci cod. et sic tres codd. Brunckii, item M, nisi quod *συνεύαδεν*, ubi *συν* addidit m. sec., olim *θήρεσσ' ἄρσην συνέβαδεν ἐς εὐνήν*, quod plane legitur in A1, sed illam lectionem etiam ceteri libri tuentur, nisi quod T *θήρεσι συνέβαδεν ἄρσεν ἐς*, P *συνέβαδεν*, V1 *συνεύαδ'*, Va *σύνευνα δέ*. — V. 191. *ἀνδρῶν*, M *ἀνδρὸς*. — *μιμήσαιντο*, V2A1M corr. *μωμήσαιντο*. — V. 192. *ἅπας*, Mpr. *ἅπαν*. — *ῥεύσῃς*, Va *εὔσῃς*, V1 *ῥύσῃς*, V2 *νεύσῃς*. — *ἀκάθεκτος* V2, vulgo *ἀκάθεκτον*. — V. 193. *δ'* om. Mpr. — V. 194 omisit V2. — *κασιγνήτων ἀλόχων*, B *κασιγνήταις λόχων*, idem *φαίνειν*, sed supra *βαίνειν*, P *ἀλόχοισιν*. Bernays hunc versum probabiliter post v. 182 collocavit, nolui tamen quidquam mutare, nam fortasse ex margine in ordinem est receptus. — V. 195. *τεὴν*, VaT *τέκνον*, Mb *τέκνων*. — V. 196. *φρονέῃ*, V12BPT *φρονέοι*, M *φρονέει*. — *φίλα*, Mcorr. *καλὰ* vel *καί*. — *ἄχρις* V1Mcorr., vulgo *ἄχρι*.

καὶ πόσις ἢ ἀλόχῳ, μηδ' ἐμπέσῃ ἄνδιχα νεῖκος;
μηδέ τις ἀμνήστευτα βίῃ κούρῃσι μιγείη.
Μηδὲ γυναῖκα κακὴν πολυχρήματον οἴκαδ' ἄγεσθαι·
λατρεύσεις ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς.
ἵππους εὐγενέας διζήμεθα γειαρότας τε
ταύρους ὑψιτένοντας, ἀτὰρ σκυλάκων παναγρῆας·
γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες·
οὐδὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα.
μηδὲ γάμῳ γάμον ἄλλον ἄγοις ἐπὶ πήματι πῆμα·
μηδ' ἀμφὶ κτεάνων συνομαίμοσιν εἰς ἔριν ἔλθῃς.
Παισὶν μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος εἴης. 372
ἢν δέ τι παῖς ἀλίτῃ σε, κολουέτω υἱέα μήτηρ,
ἢ καὶ πρεσβύτατοι γενεῆς, ἢ δημογέροντες.
Μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκαμηΐδα χαίτην·
μὴ κορυφὴν πλέξῃς μήθ' ἅμματα λοξὰ κορύμβων·

V. 197 et 198 desunt in MB, 198 etiam in MbV2T. — *ἐμπέσῃ*, T *ἐμπέσοι*. — *ἄνδιχα*, V *ἄνδρα*. — V. 198. P *ἀμνήστευτα ἀνηκούρῃοι μιγείη*, Va *ἀμνηοτευτασίῃ κούραισι μιγῆναι*, et *μιγῆναι* fortasse probandum, A1 *κούρῃ μιγείη*. — V. 199. *πολυχρήματον οἴκαδ'* Brunck ex uno cod. (et sic ut vid. V1), *οοῖοιν οἴκοιοιν* A1MVaV2, *οοῖοιν οἴκοιοι δ'* B, *οἴκοιοιν οοῖοιν* vulgo. — V. 200. *λατρεύσεις* P, *λατρεύσεις δ'* V1, *λατρεύεις δ'* M (sed *δ'* add. al. m.) A1, *λατρεύει δ'* B, Brunck ex suis codd. *λατρεύειν δ'*. — *λυγρῆς*, Bernays non recte *λυγρῇ* scripsit. — V. 201. *ἵππους*, MB *κάπρους*, deinde *δ'* addunt A1VaV2. — *διζήμεθα γειαρότας τε* scripsi in procedosi, et plane sic P (supra vulgata scripta est), V1 *διζήμεθα γειαρόπας τε* et supra *κατ' οἶκον*, vulgo *δίζεσθαι μὲν κατὰ οἶκον* ut est in MA1. — V. 202. *ταύρους* MB, vulgo *ταύρους δ'*. — *ὑψιτένοντας*, P *ὑψιταίνοντας*. — *σκυλάκων*, P *σκύλακας*, sed in m. *σκυλάκων*, fort. recte. — *παναγρῆας* scripsi, Mpr. *αγρίοιο*, sed corr. *παναγρίους*, P in m. *παναγραίους*, Va *παρὰ ἀγρούς*, V1 *πανάριστον*, V2A1 *παναγρίους* ut vulgo, unus Brunckii cod. *παναγρείους*. — V. 203. *ἀγαθὴν*, B *ἀγαθῇ*. — *ἀφρονέοντες* om. V1, M in ras., *ἀλλὰ φέρονται* Va, *ἀλλαφέροντες* B, fort. *ἀφραίνοντες*, Bernays *ἄφνος ἑλόντες* coniecit, non recte. — V. 204 omisit Ma. — *ἀφνεόν*, V1 *ἀφνειόν*. — V. 205. *ἄγοις* codd. ut videtur omnes, praeter A1, qui *ἄγῃς*. — *ἐπὶ*, Schaefer *ἔπι*. — V. 206 in V2Mb A2 et T legitur ante v. 205, in Ma ante v. 203, deest in A13M. — *κτεάνων*, V1 *κτεάτων*. — *συνομαίμοσιν*, V1 *συναίμοσι*, V2TA2 *γε συναίμοσι*, P *τε συναίμοσιν*, Va *γε συνομαίμοσι* (?). — *ἔλθῃς* V1P, vulgo *ἔλθοις* ut A2. — V. 207. *παισὶν* vel *παισὶ* MVaV12BPA1, vulgo *παισὶ δὲ*. — *εἴης* BM, *ἦσθα* V1, vulgo *ἴσθι*. — V. 208. *ἢν*, A1 *ἢ*. — *ἀλίτῃ σε* correxi, V1 *ἀλιτήσαιο*, vulgo *ἀλίτῃ* (P *ἀλιτῇ*, Mpr. *ἐλήτῃ*). — *κολουέτω* scripsi, vulgo *κωλυέτω*, V1 *κρίνατο*, V2TB *ἐσκρινέτω*, hoc etiam unus Brunckii, alius *κρινέτω*, hinc Schneidewin: *ἢν δέ τι παῖς σ' ἀλίτῃ σεο, κρινέτω* pravo numero. Praeterea Mpr. *ὑγιέα*. — V. 210. *πλοκαμηΐδα χαίτην* scripsi itaque etiam Boissonade, Va *πλοκαμηΐδα τέχνην*, V2P *πλοκαμίδα χαίτην*, A1 *πλοκαμίδας χαίτην*, V1 *πλοκάμους ἐπιχάρτους*, BM *πλοκάμους ἐπὶ χαίτης* ut Brunckii codd. tres, vulgo *πλοκαμίδος χαίτην* vel *χαίτην πλοκαμῖδος*. — V. 211. *μήθ'*, V1 *μηδ'*. Deinde pro *ἅμματα* exhibent *ἕρματα* duo codd. Brunckii, tertius ut BMV *θαύματα*.

ἄρσεσιν οὐκ ἐπέοικε κομᾶν, χλιδαὶ δὲ γυναιξίν.
Παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην·
πολλοὶ γὰρ λυσσῶσι πρὸς ἄρσενα μῖξιν ἔρωτος.
παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισιν·
μηδέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆμεν ἐάσῃς.
κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσιν.
Στέργε φίλους ἄχρις θανάτου, πίστις γὰρ ἀμείνων.
συγγενέσιν φιλότητα νέμοις ὁσίην θ' ὁμόνοιαν.
αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν
ἕδρης καὶ γεράων πάντων· γενεῇ δ' ἀτάλαντον
πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε.
Γαστρὸς ὀφειλόμενον δασμὸν παρέχειν θεράπουσιν.
δούλῳ τακτὰ νέμοις, ἵνα τοι καταθύμιος εἴη.
στίγματα μὴ γράψῃς, ἐπονειδίζων θεράποντα.
δοῦλον μὴ βλάψῃς τι, κακηγορέων παρ' ἄνακτι.
λάμβανε καὶ βουλὴν παρὰ ῥιχέτου εὖ φρονέοντος.
[*Ἀγνείη ψυχῆς τοῦ σώματός εἰσι καθαρμοί.*]

V. 212. *ἐπέοικε*, T *ἐνέηκε*. — *κομᾶν* V1P, *κόμαι* TBMV, vulgo *κόμη*. — *χλιδαὶ δέ*, in M *δὲ* deletum, V1P (supra vulgata) *χρὴ δὲ ταῖς*. Versus haud dubie corruptus, nam non est credibile praeter morem *ῑ* vocis *χλιδαὶ* esse productum; fortasse scribendum *χλιδαὶ αἶδε γυναικῶν*. — V. 213. *δ'* om. B. — *ὥρην*, B *ὥραν*, M *ὦραν*. — V. 214. *λυσσῶσι*, V1 *λυσσόουσι*, P *λυσσώουσι* ut vid. — *μίξιν*, T *κύπριν*, *γρ. μίξιν*. — *ἔρωτος*, *ἐρῶντες* M, *ἔρωτες* B. — V. 215—217 affert Stob. III 125 ed. Schow. — *παρθενικὴν*, B *παρθενίην*. — *φύλασσε*, M *φύλαττε*. — V. 216. *ἄχρι*, Mpr. *μέχρι*. — *γάμων*, fort. *γάμον*, ut P exhibere videtur. — *ὀφθῆμεν* scripsi, M *ὤφθημεν*, B *ὀφθήμεναι*, vulgo *ὀφθῆναι*. — V. 217. *ἔφυ*, V2 *ἔφη*. — V. 218 addidi ex V1. — V. 219. *συγγενέσιν* P, v. *συγγενέσι*. — *νέμοις*, *νέμειν* Va, *θ'* om. Mpr. — V. 220. *πολιοκροτάφους*, V2 *πολυοκροτάφους*. — V. 221 omisit Ma. — *ἕδρης*, A1 *ἕδρῃ*, sicut M *γηραων*. — *πάντων*, P *ἁπάντων*. — *γενεῇ δ'*, Mpr. *γενεὴν*, sed m. s. add. *δ'*. — *ἀτάλαντον*, V12 *ἀτάλαντος*. — V. 222. *ὁμήλικα*, locus de vitio suspectus, in proecdosi *ἀφήλικα* scripsi. Bernays in priore versu vitium inesse existimans scripsit *γεράων πάντων γενεῇ θαλέθοντας. πρέσβυν κτλ.* quae parum probabilis est coniectura. — *πατρὸς* om. V1. — *τιμαῖσι*, A1 *τιμαῖς*. — V. 223. *παρέχειν* MB, vulgo *παρέχου*, V1 *παράσχου*. Deinde Mpr. *θεράποντα*. — V. 224. *δούλῳ*, Mpr. *δοῦλε*. — *νέμοις*, *νέμειν* Va. — *τοι . . . εἴη*, V2 *οἱ . . . εἴης*, et *εἴης* T a m. s., Schaefer *εἴη*. — V. 225. Mpr. *στιγμὰ* et *ἐπονειδίζον*. — *θεράποντα*, V2Va *θεράποντι*. — V. 226. *δοῦλον*, T *δοῦλος*. — *βλάψῃς*, V1T *γράψῃς*. — *τι* om. MB. — *κακηγορέων*, Va *κακῇ ἀγορέων*, M *κατηγορέων*. — *παρ' ἄνακτι* MVaB, *παρ' ἄνακτος* V1, *πρὸς ἄνακτα* P ut vulgo. — V. 227. *παρὰ*, V1A1 *παρ'*, possis *βούλευμα παρ'* coniicere. Bernays *παρὰ δούλου εὐφρονέοντος*. — *εὖ φρονέοντος*, *εὐφρονέοντος* MA1. — V. 228. *ἁγνείη* libri (T *ἁγνίη*, Mpr. *ἁγνείης*) praeter P et A1 qui ut vulgo *ἁγνεῖαι*. — *τοῦ*, BVaV2 *οὐ*, MA1 *σου*, T *σοῦ*. — *εἰσι καθαρμοί* MV12P ut vulgo, Brunck ex duobus codd.

Ταῦτα δικαιοσύνης μυστήρια, τοῖα βιεῦντες
ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδοῦ.

ἐστι καθαρμός. Hunc versum, qui nulla prorsus necessitudine cum reliquis est coniunctus, ab alio adiectum esse consentaneum est: itaque cancellis sepsi praeeunte Bernaysio. — V. 229. *τοῖα* codd. ut videtur omnes, praeter MaA13 qui ut vulgo *οἷα*, quod Brunck ex uno cod. correxit. — *βιεῦντες* non ausus sum mutare, quamquam M *βιοῦντες*. — V. 230. *οὐδοῦ*, VaV12A13Ma *οὐδῷ* vel *οὐδῶ*, B *ἀδοὺ*, P *οὐδῶ* sive *οὐδοῦ*, M *ὁδου*, Mb *ὁδοῦ*.

XII.

XENOPHANES.

ΕΛΕΓΕΙΑ.

1.

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων 376
καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτίθει στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃσι προτείνει·
κρατὴρ δ' ἕστηκεν μεστὸς ἐϋφροσύνης·
ἄλλος δ' οἶνος ἑτοῖμος, ὃς οὔποτε φησὶ προδώσειν,
μείλιχος ἐν κεράμοις, ἄνθεος ὀσδόμενος·
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησιν,
ψυχρὸν δ' ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
πάρκεινται δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·

Xenophanes. Fr. 1. Athen. XI 462 C: *Ὁρῶν οὖν ὑμῶν καὶ αὐτὸς τὸ συμπόσιον, κατὰ τὸν Κολοφώνιον Ξενοφάνη, πλῆρες ὂν πάσης θυμηδίας· Νῦν γὰρ δὴ κτλ.* — V. 1—3. om. C. — V. 1. *ζάπεδον* ABPV, *δάπεδον* Basil. L. — V. 2. *ἀμφιτίθει* scripsi Dindorfium secutus, nisi quod *ἀμφιτιθεῖ* scripsit, libri *ἀμφιτιθεὶς*, quod frustra tuetur Mullach. — V. 3. *ἄλλος*, fort. scrib. *στεφάνους ἄλλος*, *ὁ δ'* ut etiam Hermann coni. — *φιάλῃσι προτείνει* scripsi, libri *φιάλῃ παρατείνει*. — V. 4…8 affert Eust. Od. 1633, 53 sine poetae n. — *κρατὴρ*, Schneidewin *κρητὴρ*. — *δ'* om. Eust., qui etiam *ἐμφροσύνης* exhibet. — V. 5. *ἄλλος δ' οἶνος ἑτοῖμος, ὃς οὔποτε φησὶ προδώσειν* scripsi, legebatur *ἄλλος* (ABCP, *ἄλλῳ* VL) *δ' οἶνος ἐστὶν* (hoc om. Eust. VL, A utrum exhibeat an om. non liquet) *ἕτοιμος* (Eust. *ἔτυμος*) *ὃς οὔποτε* (ita AVL Eust., *οὔπω* BP) *φησὶ προδώσειν* (ita AVL, *προδώσει* omisso *φησὶ* Eust., *φησὶ προδώσειν* om. BP). Cum haec duo verba etiam in A deesse crederentur (in quo revera extant, vid. Ritschl in Museo Rhen. Novo I 140), Hermann coni. *Οἶνος δ' ἐστὶν ἕτοιμος, ὃς οὔπω πυθμένι γείτων* collato Hesiod. Op. v. 336, Schneidewin contra *Οἶνος δ' ἐστὶν ἑτοῖμος, ὃς οὔποτε φησὶ προδώσειν*, at necessarium prorsus est *ἄλλος δ'*, nam praeter vinum temperatum iam in cratere praesto erat aliud in amphoris, itaque *ἐστὶ* delendum. — V. 6. *ὀσδόμενος*, B *ὀδμόμενος*, Hermann *ὀζόμενος*. — V. 7. *ὀδμὴν*, Eust. *ὀσμὴν*. — *ἵησιν* Eust., v. *ἵησι*. — V. 8. *ἔστιν* Hermann, v. *ἐστὶν*.

βωμὸς δ' ἄνθεσιν ἂν τὸ μέσον πάντη πεπύκασται,
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις.
σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι 377
πρήσσειν — ταῦτα γὰρ ὦν ἐστι προχειρότερον,
οὐχ ὕβρις, — πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο
οἴκαδ' ἄνευ προπόλου, μὴ πάνυ γηραλέος·
ἀνδρῶν δ' αἰνεῖν τοῦτον, ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
ὥς οἱ μνημόσυν' ᾖ, καὶ τόν, ὃς ἀμφ' ἀρετῆς,
οὔτι μάχας διέπει Τιτήνων οὐδὲ Γιγάντων,
οὐδὲ τὰ Κενταύρων, πλάσματα τῶν προτέρων,
ἢ στάσιας σφεδανάς· τοῖς οὐδὲν χρηστὸν ἔνεστιν·
θεῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθόν.

V. 11. *ἂν τὸ μέσον* Karsten, vulgo *αὐτὸ μέσον*, Fr. Francke *αὐτόμεσος*, Mullach *αὐτόμεσον*, Hermann *αὐτομάτοις*. — *πάντη*, legebatur *πάντῃ*. — V. 13. *χρὴ δὲ*, scribendum videtur *χρὴ δή*. — *ὑμνεῖν* Stephanus, *ὑμνὲν* VL, *ὑμὶν* P. — V. 14. *λόγοις*, Eichstaedt *νόοις*, Schneidewin *νόμοις*. — V. 15. *σπείσαντας δὲ* scripsi et deinde *πρήσσειν — ταῦτα γ. ὦν ἐ. προχειρότερον, οὐχ ὕβρις — πίνειν ὁπόσον κτλ.*, ut *πίνειν* infinitivus sit cum accusativis *σπείσαντας* et *εὐξαμένους* copulandus, illa autem *ταῦτα . . . ὕβρις* mediae orationi interiecta, vulgo: *σπείσαντάς τε . . . πρήσσειν· ταῦτα γ. ὦν ἐ. προχειρότερον. οὐχ ὕβρις πίνειν δ' ὁπόσον κτλ.* Contra Hermann *λόγοις σπείσαντάς τε καὶ εὐξαμένους· τὰ δίκαια δ' ὄνασθαι πρήσσοντας· τὸ γὰρ οὖν ἐστι προχειρότερον, οὐχ ὕβριν· πίνειν δ' ὁπόσον κτλ.* — V. 16. *προχειρότερον* corruptum, quamvis Ahrens aliter censeat, qui *ταῦτα γὰρ οὐκ ἐστι προχ.* coniecit, ego conieci *προαιρετέον*, quod etiam Schneidewin proposuit, sed non satisfacit, Mullach *πρότιμ' ἕταροι*. — V. 17. *οὐχ ὕβρις*, B *οὐχ' ὕβρεις*. — V. 19. *ἀναφαίνει*, Hermann et Hartung *ἀναφαίνῃ*. — V. 20. *ὥς οἱ μνημόσυν' ᾖ* scripsi, vulgo *ὡς ἡ μνημοσύνη*, P *ὡ σημνημοσύνη*, Scaliger coniecit *ὡς Ἡ μνημοσύνη καὶ τὸν Ὃς ἀμφ' ἀρετῆς*, ut haec scoliorum fuerint exordia, Hermann *ὅσση μνημοσύνη καὶ νόος ἀμφ' ἀρετῆς*, Schneidewin *ὥς οἱ μνημοσύνη καὶ πόνος ἀμφ' ἀρετῆς*, similiter Ahrens, nisi quod *ὡς ᾖ*, quod probans Hartung praeterea *καὶ λόγος* scripsit, Mullach *ὥς οἱ μνημοσύνη καὶ μένος, ἀμφ' ἀρετῆς*, ut *ἀμφ' ἀρ.* suspensum sit ex *ἀναφαίνει*, Meineke *ὧν ἡ μνημοσύνη*. — V. 21. *οὔτι*, C *οὔτε*. — *διέπει* C, *διέπειν* PVL, *διέπῃ* Hartung. Ceterum *διέπει* est *regit, tamquam imperator*, quod non sine cavillatione dictum. — V. 22. *οὐδὲ τὰ* Hermann, vulgo *οὐδέ τε*, BC *οὐδέ*, fort. *οὐδ' αὖ*. — *πλάσματα τῶν* Schweighaeuser, *πλασμάτων* ABC, om. P (sed in m. *πραγμάτων*) VL. Hermann coni. *Κενταύρων φλάσματα τῶν προτέρων*. — *προτέρων ἢ στάσιας* ABP, *ἢ στάσιας προτέρων* VL. — V. 23 et 24 om. C. — *σφεδανάς* Osann, ut ego dudum emendavi, libri *φενδόνας*, Scaliger *φλεδόνας*, Hermann *φλεδονᾶν*. — *τοῖς*, Mullach *ταῖς*. — V. 24. *δὲ* adiecit Scaliger. — *προμηθείην*, Dindorf *προμηθίην*. — *ἀγαθόν* Fr. Franke et Hermann, v. *ἀγαθήν*. Librorum scripturam tuetur Weil, qui v. 19—24 traiiciendos censet post v. 14, non recte; nam cum disticho v. 13. 14 arctissima necessitate coniunctus est v. 15 *σπείσαντας δὲ καὶ εὐξαμένους*, quibus verbis praecedentis distichi summa ut solet iteratur. — Ceterum integra haec elegia est.

2.

Ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο
ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
παρ Πίσαο ῥοῇς ἐν Ὀλυμπίῃ, εἴτε παλαίων,
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
εἴτε τὸ δεινὸν ἄεθλον, ὃ παγκράτιον καλέουσιν,
ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
καί κεν σῖτ' εἴη δημοσίων κτεάνων 378
ἐκ πόλεως καὶ δῶρον, ὅ οἱ κειμήλιον εἴη·
εἴτε καὶ ἵπποισιν, ταὐτά χ' ἅπαντα λάχοι,
οὐκ ἐὼν ἄξιος, ὥσπερ ἐγώ· ῥώμης γὰρ ἀμείνων
ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται· οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.
οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη,
οὔτ' εἰ πενταθλεῖν, οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τό πέρ ἐστι πρότιμον
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη·
σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ,
εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας·
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

Fr. 2. Athen. X 413 F: *Ταῦτ' εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου ἐλεγείων Ξενοφάνους οὕτως· Ἀλλ' εἰ μὲν κτλ.* — V. 1. *εἰ μὲν*, Wakefield *εἴ κεν*. — *ταχυτῆτι* A, *ταχύτητι* PVL. — V. 3. *παρ Πίσαο ῥοῇς ἐν* Stephanus (Schneidewin *ῥοαῖς* mavult), *πὰρ πίσα ὀρόησεν* P, *παρπίσα ὀρόησεν* B, *πὰρ πίσα ὀρόης ἐν* V. — V. 4. *ἔχων*, Karsten *ἑλών*. — V. 5. *τὸ* Wakefield, libri *τι*. — V. 6. *ἀστοῖσιν* B, *ἀστοῖσι* PVL. — *κυδρότερος* Stephanus et Scaliger, *κεδρότερος* PV. — *προσορᾶν* Iacobs, A *προσεραν*, B *πρὸς ἀέραν*, PVL *πρὸς ἄκρα*. — V. 8. *κεν* L, *κε* PV. — *σῖτ' εἴη* Turnebus, libri *σιτείη*. — V. 9. *πόλεως*, *πόλιος* Schneidewin et hic et v. 22. — V. 10. *ταῦτά χ' ἅπαντα* B, *ταῦτα κ' ειπαντα* A, *ταῦτα κἄπαντα* P, *ταῦτά γ' ἅπαντα* VL, *ταῦτα κε πάντα* Schweighaeuser. — V. 11. *οὐκ ἐὼν* PVL, *οὐκ ὢν* Casaubonus, ego in proecdosi *οὐκ ὤν*. — V. 14. *ἀγαθῆς*, Valckenaer *ἀγανῆς*. — V. 15. *λαοῖσι μετείη* Stephanus, legebatur *λαοῖσιν ἔτ' εἴη*. — V. 17. *ταχυτῆτι* Schweighaeuser, v. *ταχύτητι*. — V. 19. *ἂν* ABP, *ἂρ* VL. — V. 20. *γένοιτ'*, P *μένοιτ'*. — V. 21. *Πίσαο παρ'*, B *πίσας παρὰ*. — V. 22. respicit Eust. Il. 1299, 22. Deinde Xenophanes videtur dixisse potius viros de civitate universa ac pnblicis rebus bene meritos his praemiis ornandos esse, plane ut est apud Euripidem in Autolyco, qui ut recte animadvertit Athenaeus, Xenophanis vestigia sequitur. Carmen enim hoc longius etiam fuisse, significat ipse Athenaeus: *Πολλὰ δὲ καὶ ἄλλα ὁ Ξενοφάνης κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐπαγωνίζεται, διαβάλλων ὡς ἄχρηστον καὶ ἀλυσιτελὲς τὸ τῆς ἀθλήσεως εἶδος.* quamquam fortasse etiam

3.

Ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς,
ᾔεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
οὐ μείους ὥσπερ χίλιοι εἰς ἐπίπαν,
αὐχαλέοι, χαίτῃσιν ἀγαλλόμενοι εὐπρεπέεσσιν, 379
ἀσκητοῖς ὀδμὴν χρίμασι δευόμενοι.

4.

Οὐδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον
ἐγχέας, ἀλλ' ὕδωρ καὶ καθύπερθε μέθυ.

alibi, velut in Sillis idem argumentum attigit. Vide commentationem meam de Babrio in The Classical Museum N. VIII p. 116.

Fr. 3. Athen. XII 526 A: *Κολοφώνιοι δ', ὥς φησι Φύλαρχος, τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προῄεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης φησίν· Ἀφροσύνας κτλ.* Ceterum hos versus videtur Phylarchus descripsisse ex carmine, quod *κτίσις Κολοφῶνος* inscriptum fuit, in quo carmine cum poeta patriae origines et primordia diligenter illustravisset, etiam ea tempora, quae insecuta sunt, strictim attigisse videtur. — V. 1. *Ἁβροσύνας* Schneider Saxo, libri *ἀφροσύνας*. — V. 2. *τυραννίης*, Meincke *τυραννείης* — *ἦσαν ἄνευ στυγερῆς* Dindorf, A *ησσα νευ στυγερῆς*, B *ησσανευ στυγερῆς*, P *ἤσσαν εὐστυγερῆς*, VL *ἦσαν ἐπὶ στυγερῆς*. Tyrannidem poeta appellat vel ipsorum Lydorum imperium vel domesticam dominationem, quae sub Lydorum imperio Colophonios oppressit: nam haec luxuria ante bellum cum Lydis effloruit: Aristot. Pol. IV 3, 8: *οὔτ' ἂν οἱ πλούσιοι διὰ τὸ κατὰ πλῆθος ὑπερέχειν, δῆμος· οἷον ἐν Κολοφῶνι τὸ παλαιόν· ἐπεὶ γὰρ ἐκέκτηντο μακρὰν οὐσίαν οἱ πλείους πρὶν γενέσθαι τὸν πόλεμον τὸν πρὸς Λυδούς.* — V. 4. *ὥσπερ* AB, *ἤπερ* PVL. cf. Schoemann de Partibus orat. 233 seq. — Quod est ap. Cicer. de Republ. VI 2: „ut quemadmodum ille scribit, cotidiano in forum mille hominum cum pallis conchylio tinctis descenderent“ sane ad Colophonios pertinet, sed Theopompum auctorem sequi videtur, quem etiam Athen. l. l. adhibet. — *εἰς ἐπίπαν*, Schweighaeuser *ὡς ἐπίπαν*. — V. 5. *αὐχαλέοι* ABPV, *αὐχμαλέοι* L. — *χαίτῃσιν* PVL, *χαίτισιν* AB. — *ἀγαλλόμενοι* V, *ἀγαλλόμεν* L(AB), *ἀγάλλομεν* P. Hermann *αὐχαλέοι χαίτης ἐν ἀγάλμασιν*, ego olim *ἄγαλμ' ὥς*, Schneidewin *ἀγαλλόμενοι ταναῇσιν*, Mullach *ἀγαλλόμενοι χαριέσσῃς*, Meineke *ἀγαλλόμενοι χρυσέῃσι*. Synizesin facile possis removere scribendo *χαίτης γεγανωμένοι εὐπρεπέεσσιν*, sed permirum est aurea ornamenta, quibus crines decorabant, non esse commemorata; hoc igitur nomine et Hermanni et Meinekii coniecturae ceteris praestant, neutra tamen satis probabilis, neque quod ipse suspicatus sum *χαίτης ἐπαγαλλόμενοι πόρπῃσιν* vel *περόνῃσι* placet. — V. 6. *ὀδμὴν* ABP, *ὀδμῇ* VL, Hartung *ὀδμῆς*. — *χρίμασι* V, *χρίσμασι* L, *χρήμασι* AP.

Fr. 4. Athen. XI 782 A: *Ἔθος δ' ἦν πρότερον ἐν τῷ ποτηρίῳ ὕδωρ ἐμβάλλεσθαι, μεθ' ὃ τὸν οἶνον· Ξενοφάνης· Οὐδὲ κτλ.* — V. 2. *ἐγχέας* Casaubonus, *ἐγχεύας* C, *χεύας* Schweighaeuser.

5.

Πέμψας γὰρ κωλῆν ἐρίφου, σκέλος ἤραο πῖον
ταύρου λαρινοῦ, τίμιον ἀνδρὶ λαχεῖν,
τοῦ κλέος Ἑλλάδα πᾶσαν ἐφίξεται οὐδ' ἀπολήξει,
ἔστ' ἂν ἀοιδοπόλων ᾖ γένος Ἑλλαδικῶν·

6.

Νῦν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον.

* * *

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος·
παῦσαι μηδὲ ῥάπιζ', ἐπεὶ ἦ φίλου ἀνέρος ἐστίν
ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων.

7.

Ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοί
βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

8.

Ἀνδρὸς γηρέντος πολλὸν ἀφαυρότερος.

Fr. 5. Athen. VIII 368 E: *καὶ Ξενοφάνης δ' ὁ Κολοφώνιος ἐν τοῖς ἐλεγείοις φησί· Πέμψας κτλ.* — V. 1. *ἤραο*, A *ηραο*, C *ἦρα ὁ*. — V. 3. *ἐφίξεται* Karsten et Hecker, libri *ἀφίξεται*. — V. 4. *ἀοιδοπόλων* scripsi, vulgo *ἀοιδάων*, C *ἀοιδῶν*, Hartung *ἀοιδῶν ἢ σῶν*. — *Ἑλλαδικῶν* C supra, vulgo *Ἑλλαδικόν*.

Fr. 6. Diog. Laert. VIII 36: *Περὶ δὲ τοῦ ἄλλοτε ἄλλον γεγενῆσθαι (Πυθαγόραν) Ξενοφάνης ἐν ἐλεγείᾳ προσμαρτυρεῖ, ἧς ἀρχή· Νῦν νῦν τ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον, ὃ δὲ περὶ αὐτοῦ φησίν, οὕτως ἔχει· Καί ποτέ μιν κτλ.* unde v. 2—5 tanquam epigramma receptum in Anth. Pal. VII 120. Eadem Suid. v. *Ξενοφάνης*. — V. 1. *νῦν αὖτ'* Stephanus, vulgo *νῦν οὖν τ'*, Hartung *νῦν δ' αὖτ'*. — *δὲ*, fort. *τε* praestat. — *παριόντα*, Pal. *παρ' ἰόντα*. — V. 2. *καί ποτε*, *δήποτε* Planud. — V. 3. *φασὶν*, Suid. *φασί γ'*. Deinde cod. Pal. a pr. m. *ἐπωικτεῖραι*. — V. 4. *ἐπεὶ ἦ* scripsi, v. *ἐπειή*, cod. Pal. *ἐπεὶ ἦ*. — *ἐστίν*, Pal. corr. *ἔστι* (erat *ἐστὶν*), idem v. 5 a m. pr. *ψυχήν*. — V. 5. *τὴν*, Karsten *τῆς*, fort. *φθεγξαμένου* legendum. Ap. Suid. BE *φθεγξαμένην*. — *ἔγνων*, ed. Frob. *ἔγνω*.

Fr. 7. Diog. Laert. IX 19: *μακροβιώτατός τε γέγονεν (ὁ Ξενοφάνης), ὥς που καὶ αὐτός φησιν· Ἤδη κτλ.* Eadem Apostol. VIII 42 r, qui v. 2 *βληστρίζοντ' ὑμὴν* exhibet, v. 3 omisit *τε*, v. 4. habet *τῶν*. — V. 3. *γενετῆς* Hübner, vulgo *γενέτης*.

Fr. 8. Et. M. 231, 4: *ἡ μετοχὴ γηρείς . . . γηρέντος, ὥσπερ Ξενοφῶν· οἷον· Ἀνδρὸς κτλ.* sed *Ξενοφάνης* scripsit Sylburg. — Ex *Elegiis* praeterea petitum videtur, quod refert Pollux IX 83: *εἴτε Φείδων πρῶτος ὁ Ἀργεῖος ἔκοψε νόμισμα, εἴτε Δημοδίκη ἡ Κυμαία συνοικήσασα*

IAMBOI.

9.

Ἐγὼ δ' ἐμαυτὸν ἐκ πόλεως πόλιν φέρων
βληστριζόμην.

Μίδα τῷ Φρυγί, . . . εἴτε Λυδοί, καθά φησι Ξενοφάνης. Item quod Diog. Laert. I 111 de Epimenidis aetate refert: *ὡς δὲ Ξενοφάνης ὁ Κολοφώνιος ἀκηκοέναι φησίν, τέτταρα πρὸς τοῖς πεντήκοντα καὶ ἑκατὸν (βιοὺς ἔτη).* nam quemadmodum Pythagorae in elegiis fecit mentionem, ita poterat etiam Epimenidem memorare. — Mullach, qui nuper denuo Xenophanis reliquias recensuit, cum alia praetermisit, tum versum, quem Herodianus exhibet *π. μον. λέξ.* 30, 30:

Καὶ μὴν ἐνὶ σπεάτεσσι τεοῖς καταλείβεται ὕδωρ.

item ib. 41, 7 (cf. Et. M. 235, 4. Et. Gud. 301):

Εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλὸν ἔφασκον
γλύσσονα σῦκα πέλεσθαι.

denique Varronis testimonium ap. Augustinum de civ. Dei VII 17: „De diis populi Romani publicis, quibus aedes dedicaverunt eosque pluribus signis ornatos notaverunt, in hoc libro scribam, sed ut Xenophanes Colophonius scribit, *quid putem, non quid contendam, ponam.*" haec enim non sunt referenda ad versus notissimos: *καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ κτλ.*, sed Varro videtur alium versum, qui illi loco praemissus fuit, respicere. Ceterum prioris versus, quem Herodianus servavit, emendatio incerta: in promptu est correctio *καὶ μὲν ἐνί*, sed non magis illa quidem probabilis, quam quod Lehrs dedit *ἁγνόν*, fortasse scribendum est *ἀκμὴν ἐν σπεάτεσσι. Ἀκμὴν* adhibuit etiam incertus poeta ap. Ioh. Alex. de acc. 29, 35: *Ἀκμήν τοι βρύα τῆμος ἐπὶ στήθεσσι κέχυνται*, ubi *βρύα* scripsi, cum in codice sit *βρυὰ*. cf. Hesych. *Βρύα . . . ἐπετίθετο δὲ ἁγνισμοῦ χάριν.* qui v. Alexandrini alicuius esse videtur, nam *τῆμος* idem est atque *hodie.*

Fr. 9. Schol. in Hippocrat. ed. Daremberg in excerptis ex codd. medic. p. 206. Littre Hippocr. II 686: *Βληστρισμός· ὁ ῥιπτασμός· οὕτω Βακχεῖος τίθησιν· ἐν ἐνίοις δὲ ἀντιγράφοις εὕρομεν βλητρισμὸν χωρὶς τοῦ σ· οὕτως δὲ τὸν ῥιπτασμὸν σημαίνει, καθὼς καὶ Ξενοφάνης ὁ Κολοφώνιός* (libri *Κολώνιος Κωλώνιος, κυκώνιος*) *φησιν· ἐγὼ δ' ἐμαυτὸν πόλιν* (*πόλιν πόλιν* V) *ἐκ πόλεως φέρων* (om. DLQ) *ἐβλήστριζον ἀντὶ τοῦ ἐρριπταζόμην.* Transposui *πόλιν* et *βλήστριζον* scripsi vel potius *βληστριζόμην*, Schneidewin coni.: *ἐγὼ δ' ἐμεωυτὸν ἐκ πόληος εἰς πόλιν Περῶν ἂν ἐβλήστριζον (ἀνὰ τὴν Ἑλλάδα)*, Dübner *ἐγὼ δ' ἐμαυτόν πολιὸν εἰς πόλιν περῶν Ἐκ πόλιος ἐβλήστριζον*, Daremberg *ἐβληστρίαζον* requirit, Hartung *ἐκ πόλεως φέρων βάσιν βλήστριζον.* Meineke, qui *ἐβληστριζόμην* requirit, putat haec ex pedestris sermonis monumento, fortasse ex epistola desumta esse, idemque coniicit Xenophanis versum El. 7, 2 *βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν* intercidisse, ut fortasse haec omnino aliena sint a Xenophane.

XIII.

THEOGNIS.

Ὦ ἄνα, Λητοῦς υἱέ, Διὸς τέκος, οὔποτε σεῖο
λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,
ἀλλ' αἰεὶ πρῶτον σὲ καὶ ὕστατον ἔν τε μέσοισιν
ἀείσω · σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.

Theognis. Codices collati a Bekkero in editione altera (Berol. 1827) sunt hi *Mutinensis* (A) omnium praestantissimus, *Parisinus* Reg. 2008 sive 3340 (b), *Parisinus* Reg. 2551 sive 3233 (c), *Par.* Reg. 2739 s. 2803 (d), *Par.* Reg. 2833 s. 3341 (e), *Par.* Reg. 2866 s. 3336 (f), *Par.* Reg. 2883 s. 3537 (g), *Par.* Reg. 2891 s. 3525 (h), *Venetus* Marcianus 520 (i), *Venetus* Marc. 522 (K) codex praestans, nec tamen interpolationis immnnis et, nt Bekker significavit, a v. 109 usque ad 1106 circa sexagesimum quemqne lacnnosus, *Laurentianus* plnt. XXXI cod. 20 (l), *Barberinus* (m), *Vaticanus* 63 (n), *Vaticanus* 915 (O), codex non minns quam A et K praestantia insignis, *Vaticanus* 1388 (p), *Vaticanus* Palat. 102 (q), *Vatic.* Pal. 139 (r). Praeterca ex *Vindobonensi* 331 lectiones aliquot enotatas habui (s), *Laurentiani* plut. XXXII cod. 48 chart. primorem partem contulit Studemund (t). *Asteriscus* (*) significat ceteros libros inter se consentire. — Ex bis codicibns sententias distingunnt bd b i m n q r. — De auctoritate borum librorum dixi in commentatione de crisi Theognidea, qnae legitur in Museo Rhen. Novo III p. 206 seqq. et 396 seqq. Cf. etiam Schneidewin in Notit. Societ. Gotting. 1852 n. 5. Theognidis locos complures pertractavit *Leutsch* Exerc. Crit. Spec. II Gott. 1862/3 et passim in Philologo, alios attigit *Schoemann* in schediasmate de Theogn. Gryphisw. 1861. — Inscribitur carmen *θεόγνιδος ἐλεγείων α'* A. *θέογνις* g, *θεόγνις* t, *θεόγνιδος μεγαρέως* el, *θεόγνιδος στίχοι ἡρωελεγεῖοι* K, *ἀρχὴ σὺν θεῷ τοῦ θεόγνιδος ὃς διὰ στίχων ἡρωελεγείων* O, *θεόγνιδος γνῶμαι* bdfmpq, *θεόγνιδος μεγαρέως σικελιώτου γνῶμαι ἐλεγειακαί* c, *θεόγνιδος γνῶμαι, ἡρωελεγεῖοι οἱ στίχοι* i, *θεόγνιδος γνῶμαι: μᾶλλον θεόγνιδος γνωμολογία πρὸς Κύρνον τὸν ἐρώμενον* n, *θεόγνιδος Μεγαρέως γνωμολογία πρὸς Κύρνον πολυπαίδην τὸν ἐρώμενον* h, *θεόγνιδος γνῶμαι τοῦ μεγαρέως πρὸς Κύρνον τὸν ἑαυτοῦ φίλον· θέογνις, θέογνις· θέογνις* r. — V. 1—4 affert Apostol. XVIII 56 b. Arsen. 485. — V. 2. *ἀρχόμενος*, *ἀρχόμενός γ'* i. — *ἀποπαυόμενος*, Turnebus *ἀναπαυόμενος*. — V. 3. *σὲ* scripsi, libri *τε*. — V. 4. *ἀείσω*, banc futnri formam antiquis poetis plane abindicans Cobet *ὑμνήσω* proponit; poterat leniore medicina nti *ἀείδω*, quemadmodum apud Enrip. Herc. Fur. 678 *ἔτι τὰν Ἡρακλέους καλλίνικον ἀείσω* Elmsleius probabiliter *ἀείδω* scripsit. — *μοὶ* AO, *μευ* ceteri libri.

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητώ,
φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέϊ λίμνῃ, 382
πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη,
γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.

Ἄρτεμι θηροφόνη, θύγατερ Διός, ἣν Ἀγαμέμνων
εἴσαθ', ὅτ' ἐς Τροίην ἔπλεε νηυσὶ θοαῖς,

V. 5. *Φοῖβε, φοῖβ'* p. — V. 6. *ῥαδινῆς* bcdefhiKlmn et pr. g, quamquam non multum tribuendum in hac re his codicibus, cum ι dativi tantum non ubique omittant, ut Bekker dicit: ceteri *ῥαδινῆς*. Cod. Pal. ap. Hoesch. *τρυφερῆς*, at scribendum omnino *φοίνικος ῥαδινῆς* (ut etiam Draco Straton. p. 93 exhibet), quod epitheton inprimis palmae convenit, nec quoniam infra v. 996 de Lacaena puella dictum *Εὐειδὴς ῥαδιναῖς χερσὶ Λάκαινα κόρη* continuo idem de Latona dicendum. At gravis inscitiae me arguit Schneidewin, dicendum enim fuisse *φοίνικος ῥαδινοῦ*: scilicet is ignoravit palmas et mares et feminas esse, vid. Herodot. I c. 193: *εἰσὶ δέ σφι φοίνικες πεφυκότες ἀνὰ πᾶν τὸ πεδίον· οἱ πλεῦνες αὐτῶν καρποφόροι, ἐκ τῶν καὶ σιτία καὶ οἶνον καὶ μέλι ποιεῦνται· τοὺς συκέων τρόπον θεραπεύουσι τά τε ἄλλα καὶ φοινίκων τοὺς ἔρσενας Ἕλληνες καλέουσι, τούτων τὸν καρπὸν περιδέουσι τῇσι βαλανηφόροισι τῶν φοινίκων, ἵνα πεπαίνῃ τέ σφι ὁ ψὴν τὴν βάλανον ἐσδύνων καὶ μὴ ἀπορρέῃ ὁ τοῦ φοίνικος· ψῆνας γὰρ δὴ φορέουσι ἐν τῷ καρπῷ οἱ ἔρσενες, κατάπερ δὴ οἱ ὄλυνθοι.* At adversarius dicet, quaerendum esse, Delia palma mas an femina fuerit: hanc quoque quaestionem solvam; in imagine enim ap. Tischbein Vas. pict. T. II t. XII, ubi Apollinis adventus in Delum insulam exhibetur, licet videre palmam baccis exuberantem: femina igitur palma fuit, quamquam a poetis vulgo *ὁ φοίνιξ* dicitur; prorsus ut est in simili argumento ap. Pausan. X 15, 5, ubi describit palmam aurcam, quam Athenienses Delphis dedicaverunt, *λέγει δὲ καὶ ὡς τὸ δόρυ καὶ τὰς γλαῦκας καὶ ὅσος καρπὸς ἐπὶ τῷ φοίνικι ἐπεποίητο ἐς μίμησιν τῆς ὀπώρας, κατακλάσαιεν καὶ ταῦτα οἱ κόρακες.* Item Theophr. Hist. Plant. III 19 *ὁ θῆλυς φοίνιξ* scripsit. — V. 8. *ἀπειρεσίη*, hs *ἀπειρεσίης*. Delos *ἀπειρεσίη* dicitur, id est *κυκλοτερής*, quemadmodum *δακτύλιος ἀπείρων*. — V. 9. *ἐγέλασσε, ἐγέλασε* iKqrt. — V. 10. *γήθησεν, γήθησε* Knp. — *βαθὺς, βαρὺς* el. — V. 11. *θηροφόνη, θηροφονοι* i, *θηρηφόνη* s, *θηροφόνε* Brunck. — *Ἀγαμέμνων, ἀγάμνων* d. — V. 12. *εἴσαθ'* dhK, ceteri omnes *εἵσαθ'*, etiam A, in quo supra scriptum *cognovit*, quod Bekker aliique receperunt, sed *εἵσατο* omnino probandum; nam Agamemnon, ut alias Dianae cultum instituisse dicitur, ita etiam Megara propagavit ibique deae templum condidit, vid. Paus. I 43, 1: *καὶ Ἀρτέμιδος ἱερόν, ὃ Ἀγαμέμνων ἐποίησεν, ἡνίκα ἦλθε Κάλχαντα οἰκοῦντα ἐν Μεγάροις ἐς Ἴλιον ἕπεσθαι πείσων*; nam illud leve discrimen, quod Theognis de ipsa expeditione dicere videtur, Pausanias de itinere, quod antea ad heroas congregandos suscepit Agamemnon. Ceterum conferas Callimachum ap. Schol. Arist. Av. 873: *Τὴν ὠγαμέμνων, ὡς ὁ μῦθος, εἵσατο, Τῇ καὶ λίπουρα καὶ μόνωπα θύεται*, quae de Amarysia sive Colaenide Diana sunt dicta. Neque tamen propter hanc similitudinem etiam hic locus ad Amarysiam Dianam revocandus, quamquam insunt in hac sylloge reliquiae poetae, qui in Euboea si non natus fuit, at certe domicilium collocaverat. — *νηυσὶ, νηυσσὶ* A. — *θοαῖς, θοῆς* A.

εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε·
σοὶ μὲν τοῦτο, θεά, σμικρόν, ἐμοὶ δὲ μέγα.

Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου
ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος·
ὅττι καλόν, φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστίν.
τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
τοῖσδ' ἔπεσιν, λήσει δ' οὔποτε κλεπτόμενα.
οὐδέ τις ἀλλάξει κάκιον τοὐσθλοῦ παρεόντος·
ὧδε δὲ πᾶς τις ἐρεῖ· Θεύγνιδός ἐστιν ἔπη 383
τοῦ Μεγαρέως· πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστός·
ἀστοῖς τοῖσδ' οὔ πω πᾶσιν ἀδεῖν δύναμαι·
οὐδὲν θαυμαστόν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεὺς
οὔθ' ὕων πάντεσσ' ἁνδάνει οὔτ' ἀνέχων.

V. 13. ἀπὸ, ἄπο g. — ἄλαλκε, ἔλαλκε r. — V. 14. μὲν, δὲ r. — θεά, θεᾶ ι ut videtur eraso A. — σμικρὸν, μικρὸν A, sed σμικρὸν etiam ap. Aristot. Eth. Eudem. VII c. 10: ἐνδέχεται δ' εἶναι ὥσπερ λέγει Θέογνις· σοὶ μὲν τοῦτο θεὰ σμικρόν, ἐμοὶ δὲ μέγα. — V. 15. Κάδμου, κάαγμου i. — V. 17. 18 affert Iriarte p. 191. Post v. 18 Leutsch distichon intercidisse censet, quo verba διὰ στομάτων explanata fuerint: non recte: ἀθάνατα στόματα Gratiarum ora sunt. — V. 19. σοφιζομένῳ μὲν ἐμοὶ, Hartung σοφιζομένῳ^{η} ὄνομά μοι. — σφρηγὶς, σφραγὶς K, σφραγὶς i. — V. 20. λήσει λύσει bq, λήσῃ s. — κλεπτόμενα, AO et fortasse r, κλεπτομένα K, ceteri κλεπτομένη, m quid habuerit incertum. — V. 21. ἀλλάξει, ἐκλέξει K, ἀλέξει O. — κάκιον, κάλλιον pr. r. — τοὐσθλοῦ, τ' οὐσθλοῦ A, του ἐσθλοῦ cegilpqr, s in m. γρ. ἀθλοῦ παριόντος. — V. 22. δὲ om. q. — πᾶς τις ἐρεῖ AKO, παῖς ἐρέει r, πῶς ἐρέει clpq, ceteri πᾶς ἐρέει. — Θεύγνιδος, Θεόγνιδος g, θεόγνιδος δ' r, θειογνιδος s. Ceterum haec verba: Θεόγνιδός ἐστιν ἔπη τοῦ Μεγαρέως affert Xenophon ap. Stob. LXXXVIII 14, unde confirmatur haec ex prooemio petita esse. — V. 23. Μεγαρέως, Μεγαρέος Bekker in ed. pr. scripsit. — ὀνομαστός AKO, ὀνομαστοὺς f, ceteri ὀνομαστοῦ. — V. 24. ὀνομαστὸς ἀστοῖς τοῖσδ' scripsi, vulgo legitur ὀνομαστός (vel ὀνομαστοῦ)· ἀστοῖσιν δ', Ahrens ὀνομαστὸς ἀστοῖσιν δὴ οὔπω, quod secutus sum in epecdosi, cum antea ὀνομαστὸς ἀστοῖς εἰ μή πω scripsissem, ut hoc ad θαυμαστόν referretur. Contra Hartung πάντας μὲν ἐπ' ἀνθρώπους ὀνομαστός, ἀστοῖσιν δ' οὔπω. — v. 24—28 affert Ap. IV 14 d. — V. 25. Πολυπαΐδη Elmsley omnibus locis scribendum esse vidit, vulgo Πολυπαίδη. — οὐδὲ γὰρ ὁ, ὁ δὲ γὰρ bt. — V. 26. οὔθ', ὅσθ' r. — πάντεσσ', quod Porson coniecerat, A, πάν^{ω}τας el, πάντας h, πάντας et in marg. ἢ πάντως t, * πάντας. πᾶσιν Dindorf requirit. Antiquitus fortasse scriptum fuit πάντας ϝανδάνει. — Fortasse ad hunc ipsum locum etiam aliud distichon v. 799. 800 referendum est. Ceterum huc respicit Liban. III 27.

Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός,
Κύρν', ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.
πέπνυο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν
τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος.

Ταῦτα μὲν οὕτως ἴσθι· κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο·
καὶ παρὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
ἵζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν

V. 27. *οἷα*, *ὅσσα* l et margo h. Seiunxit Bekker hoc distichon a prioribus, ego vero coniunxi cum sequentibus, quae vulgo separantur; recte vero Bekker v. 29. 30 segregavit a proxime sequentibus; quamquam haud dubie aliqua necessitudo intercedebat. Nam omnino haec tria fragmenta inde a v. 19 usque ad v. 38 eiusdem elegiae fuisse videntur, quae prooemii locum obtinebat: v. 19—26 huius elegiae exordium sunt, nec tamen integrum, nam poeta post v. 26 illam sententiam videtur pluribus persecutus esse, neque licet continuo v. 26 cum v. 27 seq. coniungere, quod vel nomen repetitum *Πολυπαΐδη* (v. 25) et *Κύρνε* (v. 28) arguunt. Versibus 27—30 inchoabatur media pars carminis, v. 31—38 epilogus huius elegiae est, ubi non incommode ea ipsa sententia, a qua poeta epilogum orsus erat v. 31, in novissima parte (v. 37. 38) iteratur, ut epilogum integrum servatum esse appareat: olim suspicabar ultimum distichon (v. 37. 38) separandum esse, quippe quod propter similitudinem esset subiunctum. — V. 29. *πέπνυο* scripsi, libri vitiose *πέπνυσο*: nam media syllaba ubique producitur, itaque *πέπνυο* scripsi, quemadmodum *ἔσσυο* apud Homerum Il. VI 585. Od. I 447 in plusquamperfecto dictum; nec dissimile est *δαίνυο*, quod est Il. XXIV 63 aliaque id genus. — *ἔργμασι*, *ἔργασι* KO. — *μηδ'*, *καὶ* i, fortasse *μήτ'* scribendum. — V. 30. *ἀρετὰς*, non mutandum, nam non tam de honesto, quam de laude et praestantia accipiendum; uti est v. 129. — *ἕλκεο*, Herm. coniecit *ἔλπεο*, at conferas Euripid. Ino fr. 13. Hartung totum locum sic conformavit: *πέπνυσ' ἠδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μήτ' ἀδίκοισιν τιμὰς μήτ' ἀρετὰς ἔλπεο μήτ' ἄφενος.* — v. 33—36 affert Plato Men. p. 95 D *Theognidis* nomine, item Muson. ap. Stob. LVI 18. — V. 33. *παρὰ τοῖσιν*, et deinde *μετὰ τοῖσιν* ex Platone recepi, Muson. *καὶ μετὰ τῶν σύγε* (ita AB, vulgo *γε σὺ*) *πῖνε καὶ ἔσθιε καὶ μετὰ τοῖσιν.* adde etiam Nicostrat. Stob. LXXIV 64: *χρηστὸν δὲ καὶ τό· μετὰ τῶν σύγε πῖνε καὶ ἵζανε παρ' ὧν τί φησι καὶ χρηστὸν ἂν ἀπολαύσαις.* Theognidis codd. omnes ut videtur utroque loco *μετὰ*. Brunck, Bekker alii ediderunt *καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε καὶ παρὰ τοῖσιν.* — V. 34. *ἵζε*, *ἔζεν* el, *ἵζεν* r, *ὕζεν* s (ap. Stob. A et Trinc. *ἵζεο*). — *τοῖς*, *τοῖς δ'* Trinc. — V. 35. 36 om. p. Afferunt hoc distichon etiam Xenoph. Mem. I 2, 20 (Stob. XXIX 95). Sympos. 2, 5. Clemens Strom. V p. 572. Cram. An. Par. I 229. Schol. Aphthon. Walz. Rhett. II 593. Iriarte 448. Respicit Aristot. Eth. Nic. IX 9. *γένοιτο δ' ἂν καὶ ἄσκησίς τις τῆς ἀρετῆς ἐκ τοῦ συζῆν τοῖς ἀγαθοῖς, καθάπερ καὶ Θέογνίς φησιν.* et IX 12: *ἀπομάττονται γὰρ παρ' ἀλλήλων, οἷς ἀρέσκονται· ὅθεν τό· ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλά.* cf. etiam Liban. III 90 ed. Reiske; idem in Epist. 79 et 1366. Crates Ep. 29. — *ἄπ'* Adfghimnqr, ceteri *ἀπ'*. — *μαθήσεαι*, *μαθήσαιαι* r, *μαθήσεαι* Muson. Clem. Cram., contra *διδάξεαι* Xenophon utroque loco, Plato, Hermogenes ap. Bekk. (an Schol. Aphthon.?); ap. Stob. XXIX 95 vulgo *μαθήσεαι*, sed A Gesn.

συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. 384
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε, καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.
ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δὲ
τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.

Οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες·
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ,
δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν
οἰκείων κερδέων εἵνεκα καὶ κράτεος,

margo διδάξεαι. Fortasse neutrum scripsit, sed qnod indicat Aristoteles altero loco:

Ἐσθλῶν μὲν γὰρ ἄπ' ἔσθλ' ἀπομάξεαι.

Fr. 12. Plut. de aud. poet. c. 6: *ὅταν δὲ (Ἀρχίλοχος) τὸν ἄνδρα τῆς ἀδελφῆς ἠφανισμένον ἐν θαλάττῃ καὶ μὴ τυχόντα νομίμου ταφῆς λέγῃ (θρηνῶν) μετριώτερον ἂν τὴν συμφορὰν ἐνεγκεῖν· Εἰ κείνου κτλ., τὸ πῦρ οὕτως, οὐ τὸν θεὸν προσηγόρευσεν.* — V. 1. *μέλεα*, Dübner *μέλη*.

Fr. 13. Plut. de aud. poet. c. 12: *Πάλιν ὁ Ἀρχίλοχος οὐκ ἐπαινεῖται λυπούμενος μὲν ἐπὶ τῷ ἀνδρὶ τῆς ἀδελφῆς διεφθαρμένῳ κατὰ θάλασσαν, οἴνῳ δὲ καὶ παιδιᾷ πρὸς τὴν λύπην μάχεσθαι διανοούμενος· αἰτίαν μέντοι λόγον ἔχουσαν εἴρηκεν· Οὔτε κτλ.* Eadem Tzetz. ap. Matrangam An. 216, qui om. v. 1 *γάρ*, deinde exhibet *οὔτε τι κάκιον* et v. 2. *θάλειαν*.

Fr. 14. Aristot. Eth. Eudem. VII 2: *Διὰ γὰρ τὸ χρήσιμοι εἶναι φιλοῦσιν ἀλλήλους καὶ μέχρι τούτου, ὥσπερ ἡ παροιμία· Γλαῦκ', ἐπίκουρος κτλ.* Proverbium dicit philosophus, sed ex Archilochi elegiis petitum esse versum fidem facit Glauci nomen, vid. fr. 56 et 59. Ipse autem Archilochus in se expertus, quae mercenarii militis esset fortuna, vid. fr. 24. — *τόσσον* scripsi, legebatur *τὸν σόν*.

Fr. 15. Maxim. Planud. Walz. Rhett. V 441: *καὶ ὁ ἐν Μιλήτῳ θεὸς* (vid. Pseudophocyl. 162). … *καὶ πάλιν· Πάντα κτλ.* (*θνητοῖς* unus cod., reliqui *βροτοῖς*, ed. Ald. *δὲ βροτοῖς*, et deinde *δὲ βροτείῃ*) ut hunc quoque versum aliquis coniiciat olim in Pseudophocylideis lectum esse. *Archilocho* tribuit Io. Sicel. ib. VI 96: *Πάντα γὰρ πόνος τεύχει θνητοῖς κατ' Ἀρχίλοχον μελέτη τ' ἀρίστη.* Fort. scrib.: *μελέτη δέ τ' ἄριστον.* Emperius pro *θνητοῖς* coniecit *βρότεος*.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

17.

Ὑψηλοὺς Μεγάτιμον Ἀριστοφόωντα τε Νάξου
κίονας, ὦ μεγάλη γαῖ', ὑπένερθεν ἔχεις.

18. [72.]

Ἀλκιβίη πλοκάμων ἱερὴν ἀνέθηκε καλύπτρην
Ἥρῃ, κουριδίων εὖτ' ἐκύρησε γάμων.

19. [57.]

Συκῆ πετραίη πολλὰς βόσκουσα κορώνας
εὐήθης ξείνων δέκτρια Πασιφίλη.

ΙΑΜΒΟΙ.

ΤΡΙΜΕΤΡΑ.

20. [86.]

Κλαίω τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά.

Fr. 16. Stob. Ecl. Phys. T. I p. 194 sine poetae nomine, sed Archilocho recte vindicavit Liebel. — *μοῖρα*, A *ῥοῖρα*.

Fr. 17. Anthol. Pal. VII 441: m. sec. *Ἀρχιλόχου*, m. pr. *Εἰς Μεγάτιμον καὶ Ἀριστοφόωντα τοὺς Ναξίους*. — V. 1. *Μεγάτιμον*, P *μεγατίμιον*. — V. 2. *ὦ*, P *ωἷ*. — *γαῖ'* Iacobs, *γᾶ* P.

Fr. 18. Anthol. Pal. VI 133: *ἀνάθημα τῇ ἥρα παρ' ἀλκιβίης Ἀρχιλόχου*.

Fr. 19. Athen XIII 594 C: *ἐφ' οἷς Ἴωνες ἀγασθέντες, ὥς φησι Μένετωρ ἐν τῷ περὶ ἀναθημάτων, Πασιφίλαν* (sic ABCP, sed VLP in m. *Παμφίλαν*) *ἐκάλουν τὴν Πλαγγόνα. Μαρτυρεῖ δὲ καὶ Ἀρχίλοχος περὶ αὐτῆς ἐν τούτοις· Συκῆ* (Schneidewin *συκέη*) *κτλ.* Eust. Od. 1713, 47: *Πασιφίλα, ἑταίρα παλαιὰ εὐειδής, αὐτὸ δὲ ἴσως ἐκ τοῦ Πασιφάη παρείλκυσται.* Conieci aliquando *Ἀντίλοχος* legendum esse, qui poeta fuit Lysandri aequalis, vid. Plut. Lys. c. 18. Meineke ambigit, utrum hoc epigramma abiudicandum sit Pario poetae, an Athenaeus perperam Archilochi Pasiphilen interpretatus sit Plangonem Milesiam vel Samiam meretricem, quae mediae comoediae temporibus famosa fuit.

Fr. 20. Strabo XIV 647: *Καλλῖνος μὲν οὖν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς Ἐφεσίους πολέμῳ, Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν, Κλαίειν θάσσων* (F *θάσων*, quod eadem m. correxit, *θᾶσσον* moz. *θείον* x) *οὐ* (ita omnes libri, non *οὐ*) *κτλ.* Heraclid. Pont. Pol. XXII: *Μάγνητες δι' ὑπερβολὴν ἀτυχημάτων πολλὰ ἐκακώθησαν, ὅθεν καὶ Ἀρχίλοχος φησίν· Κλαίω θαλασσῶν οὐ τὰ Μ. κ.* (ita ACP margo p.,

21. [9. 3.]

Ἧδε δ' ὥστ' ὄνου ῥάχις
ἕστηκεν ὕλης ἀγρίης ἐπιστεφής·
οὐ γάρ τι καλὸς χῶρος οὐδ' ἐφίμερος
οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

22. 541

Καί μ' οὔτ' ἰάμβων οὔτε τερπωλέων μέλει.

23.

Ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις.

sed reliqui nihil nisi *φησὶ τὰ Μαγ. κακά.*). Respiciunt hnc Clem. Strom. I 397. Athen. XII 525 C. Scripsi *τὰ Θασίων*, quod Tyrwhitt coniecit, et *κλαίω* praetnli infinitivo, qui est apud Strabonem, contra Val. Franke: *Κλαίοντα Θάσσον, οὐ τὰ Μ. κ.*, quod cnm metro adversetur, Schneidewin pracfert *Κλαίω τὰ Θασίων, οὐ τὰ Μ. κ.* — Ortnm hinc proverbinm *τὰ Μαγνήτων κακά*, de quo vide Suid. s. h. v. Arscn. 442.

Fr. 21. Coninnxi duo fragmenta in nnum. V. 1 et 2 leguntur apnd Plut. de exil. c. 12: *καθάπερ Ἀρχίλοχος τῆς Θάσου τὰ καρποφόρα καὶ οἰνόπεδα παρορῶν διὰ τὸ τραχὺ καὶ ἀνώμαλον διέβαλε τὴν νῆσον, εἰπών· Ἧδε κτλ.* *ἀγρίης* scripsi, v. *ἀγρίας*. — V. 3 et 4 affert Athen. XII 523 D: *καὶ Ἀρχίλοχος δ' ὁ ποιητὴς ὑπερτεθαύμακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν εὐδαιμονίαν· περὶ γοῦν τῆς Θάσου λέγων ὡς ἥσσονός φησιν· Οὐ γάρ κτλ. ὠνομάσθη δ' ἡ Σῖρις, ὡς μὲν Τίμαιός φησι καὶ Εὐριπίδης ἐν Δεσμώτιδι Μελανίππῃ ἀπὸ γυναικός τινος Σίριδος, ὡς δ' Ἀρχίλοχος φησίν, ἀπὸ ποταμοῦ.* — V. 3. *ἐφίμερος*, *ἐπίμερος* Schneidewin. — V. 4 alios legisse *ἀμφ' Ἀκίριος ῥοάς* apparct ex Hesychii glossa: *Ἀμφ' Ἀκίριος ῥοάς· Ἄκιρις ποταμός.* cf. Plin. III 97: „Similiter est inter Sirin et Acirin Heraclia, aliquando Siris vocata.“ Strabo VI 264: *Ἡράκλεια πόλις μικρὸν ὑπὲρ τῆς θαλάττης καὶ ποταμοὶ δύο πλωτοὶ Ἄκιρις καὶ Σῖρις.* et Tab. Heracl. ap. Boeckh. C. Inscr. III 5774. 5.

Fr. 22. Tzetzes ap. Matrangam Anecd. 216: *Καὶ τότε καὶ βραχύχρονος εἶναι τῷ βίῳ μέλλων Ποιεῖ ὅπερ καὶ ὕστερον Ἀρχίλοχος ἐκεῖνος· Σφῆς ἀδελφῆς γὰρ σύζυγον πνιγέντα τῇ θαλάσσῃ Περιπαθῶς ὠδύρετο, γράφειν μὴ θέλων ὅλως, λέγων πρὸς τοὺς βιάζοντας συγγράμμασιν ἐγκύπτειν· Καί μ' οὔτ' ἰάμβων, οὔτε τερπωλέων μέλει. Ὡς δὲ δακρύων κέκμηκε μάτην εἰρήκει τάδε· Οὔτε τι κλαίων ἰήσομαι, οὔτε τι κάκιον Θήσω, τερπωλὰς καὶ θάλειαν ἐφέπων· Καὶ ταῦτ' εἰπὼν ἐξώρμησε πρὸς τὴν πλάτειαν τρίβον.* Iniuria Schneidewin a Tzetze versum fictum esse censet.

Fr. 23. Schol. Arist. Ran. 704: *κυμάτων ἐν ἀγκάλαις· Δίδυμός φησι παρὰ τῷ Αἰσχύλῳ, ἔστι δὲ ὄντως παρὰ Ἀρχιλόχῳ· Ψυχὰς κτλ.*

24. [15.]

Καὶ δὴ 'πίκουρος ὥστε Κὰρ κεκλήσομαι.

25. [2.]

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,
οὐδ' εἷλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρέω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

26. [89.] 542

. . Ὁ δ' Ἀσίης καρτερὸς μηλοτρόφου.

Fr. 24. Schol. Plat. p. 322: *Καὶ τὸ παρ' Ὁμήρῳ ἐν καρὸς αἴσῃ* (Il. ι 378) *ἐν τῷ τυχόντι τινὲς ἀκούουσι. Μέμνηται δ' αὐτῆς Ἀρχίλοχος λέγων· Καὶ δὴ κτλ.* adde Schol. Il. ι 378 ubi exponit, quomodo Archilochus Homeri illum locum intellexerit: *τίω δέ μιν ἐν Καρὸς αἴσῃ. ἀπὸ τῶν Καρῶν, οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητής, οἷον ἐν μοίρᾳ Καρός, οἱονεὶ δούλου . . . Ἀρχίλοχος δὲ τιμῶμαι αὐτὸν ἐν μισθοφόρου καὶ τοῦ τυχόντος στρατιώτου μοίρᾳ.*

Fr. 25. Aristot. Rhet. III 17: *εἰς δὲ τὸ ἦθος, ἐπεὶ ἔνια περὶ αὑτοῦ λέγειν ἢ ἐπίφθονον ἢ μακρολογίαν ἢ ἀντιλογίαν ἔχει, καὶ περὶ ἄλλου ἢ λοιδορίαν ἢ ἀγροικίαν, ἕτερον χρὴ λέγοντα ποιεῖν, ὅπερ Ἰσοκράτης ποιεῖ ἐν τῷ Φιλίππῳ καὶ ἐν τῇ ἀντιδόσει· καὶ ὡς Ἀρχίλοχος ψέγει, ποιεῖ γὰρ* .., *(λέγοντα) τὸν Χάρωνα τὸν τέκτονα ἐν ἰάμβῳ, οὗ ἡ ἀρχή· Οὔ μοι τὰ Γύγεω* (Q *στυγέω*). Sed quatuor versus servavit Plut. de tranquill. an. c. 10 sine poetae nom. *Οὔ μοι . . . μέλει. Καί· Οὐδ' εἷλε κτλ. Θάσιος γὰρ ἐκεῖνος ἦν*: nec tamen inde colligendum, v. 1 a reliquis esse separandum, quod vel redarguit imitatio in Anacreonteis carm. 7, sed apud Plut. *καὶ* delendum. Neque enim abutar Iubae verbis apud Rufin. p. 386 „de Archilocho Pario, qui Gygae fabulam optime complexus est" ad coniecturam stabiliendam, poetam pluribus Gygae res persecutum esse. — V. 1. Affert corruptum Rufinus 387, respicit Herod. I 12: *τοῦ (Γύγου) καὶ Ἀρχίλοχος ὁ Πάριος κατὰ τὸν αὐτὸν χρόνον γενόμενος ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη.* quamquam Schaefer haec a grammatico aliquo adiecta esse censet. — V. 2. *πώ*, Schneidewin *κω*. — V. 3. *μεγάλης κτλ.* affert Schol. Aesch. Prom. 224: *τὸ δὲ τῆς τυραννίδος ὄνομα τοῖς μὲν παλαιοτάτοις ἄγνωστον ἦν, οὗτος δὲ ὁ ποιητὴς οἶδεν αὐτό, πρὸ αὐτοῦ δὲ καὶ Ἀρχίλοχος, λέγων· μεγάλης κτλ.* Similiter auctor Argum. Soph. Oed. Tyr., qui dicit tum demum tyranni nomen receptum. Huc pertinet Et. Gud. 537, 26: *Τύραννος ἤτοι ἀπὸ Τυρρήνων, ὠμοὶ γὰρ οὗτοι* (ita Philochorus censuit, vid. Schol. Lucian. Catapl. 1) *ἢ ἀπὸ Γύγου, ὅς ἐστιν ἀπὸ Τύρρας, πόλεως Λυδιακῆς, τυραννήσαντος ἐν αὐτῇ πρῶτον· οὕτως εὗρον ἐν ὑπομνήματι Ἀρχίλου (Ἀρχιλόχου).* Similia in Et. M. 771, 54, ultimis quidem omissis, sed addunt Sorb. (ubi *Ἀρχῖνος*) et Brux. (*Ἀρχιλόχου*).

Fr. 26. Schol. Eur. Med. 703: *Καὶ τὸν ἐγκρατῆ λέγουσι καρτερόν. Ἀρχίλοχος· ὁ δ'* (ita codd., vulgo *ἡ δ'*) *Ἀσίη* (ita Fl. 6. 15, *Ἀσίηι* B, *Ἀσίη τε* I) *κτλ.* Adde Schol. Od. ο 534, ubi *ὁ Ἀσίης κρατερὸς μηλ.* (sed H *ὁ δ'*, Vind. *καρτερός*). Cram. An. Par. III 496, 13: *ὁ δ' Ἀσίης κρατ. μηλ.* et Eust. 1790, 7: *Ἀσίας καρτ. μ. ὅ ἐστιν ἄρχων.* Scripsi igitur *ὁ δ' Ἀσίης καρτερὸς μ.*, nisi forte producta syllaba scribendum *οὐδ' Ἀσίης ὁ καρτ. μ.*, Dindorf *ὁ δ' Ἀσίης γῆς* vel *ὁ δ' Ἀσίης ἦν.*

27. [4.]

῎Αναξ ῎Απολλον, καὶ σὺ τοὺς μὲν αἰτίους
σήμαινε καί σφεας ὄλλυ᾽ ὥσπερ ὀλλύεις.

28. [17.]

Οἵην Λυκάμβεω παῖδα τὴν ὑπερτέρην.

29. [7. 13.]

῎Εχουσα θαλλὸν μυρσίνης ἐτέρπετο
ῥοδῆς τε καλὸν ἄνθος, ἡ δέ οἱ κόμη
ὤμους κατεσκίαζε καὶ μετάφρενα.

30. [12.]

᾽Εσμυρισμένας κόμας
καὶ στῆθος, ὡς ἂν καὶ γέρων ἠράσσατο.

Fr. 27. Macrob. Sat. I 17: *Alii cognominatum Apollinem putant ὡς ἀπολλύντα τὰ ζῶα; exanimat enim et perimit animantes, cum pestem intemperie caloris immittit; ut Euripides . . . item Archilochus:* ῎Αναξ κτλ. — V. 1. τοὺς μὲν αἰτίους, N τους μεν σιτοις, edd. vett. τοὺς μαιτίους, unde μεταιτίους olim conieci. — V. 2. σήμαινε N et ed. Ald., CHMAIN BP2GR, σημαίνῃ D, πήμαινε edd. vett. — σφέας P2, quod Schneidewin coniecit, vulgo σφας vel σφᾶς. — ὥσπερ ὠλλύεις, Hartung ὡς ἀπολλύων.

Fr. 28. Schol. Hom. Il. λ 786: Ἡ διπλῆ, ὅτι Ἀρχίλοχος ὑπερτέραν τὴν νεωτέραν ἐδέξατο· Οἵην κτλ. ἀντὶ τοῦ τὴν νεωτέραν. Λυκάμβεω Elmsley, vulgo Λυκάμβεος.

Fr. 29. Coniunxi duo Fragm. in unum, qnae de Neobule aperte dicta sunt: prius affert Ammonins p. 123: Ῥόδον καὶ ῥοδωνιὰ καὶ ῥοδῆ διαφέρει· ῥόδον μὲν γὰρ τὸ ἄνθος, ῥοδωνιὰ δὲ ὁ τόπος, ῥοδῆ δὲ τὸ φυτόν. Ἀρχίλοχος· ἔχουσα . . . ἄνθος. Adde Philem. p. 63 et Moschopnl. ubi ἀφείπετο pro ἐτέρπετο legitur, et Favorin. v. ῥόδον, Bachmanni An. II 379 nbi ἐφείπετο. — V. 1 affert etiam Schol. Theocr. IV 45 (ubi codd. praeter K μυρίνης) et Etym. M. 441, 49. — V. 2 initium ῥοδῆς τε κ. ἄ. Athen. II 52 F et Enst. Od. 1963, 49 (ubi τε om.). Ceterum Schneidewin ῥοδέης. — Posterius Fr. affert Synes. Laud. Calv. p. 75 B: καὶ ὁ κάλλιστος ποιητῶν Ἀρχίλοχος ἐπαινέσας αὐτὴν (τὴν κόμην), ἐπαινεῖ μὲν οὖσαν (fortasse ὡς ἂν) ἐν ἑταίρας σώματι, λέγει δὲ οὕτως· Ἡ δέ κτλ. — V. 3. κατεσκίαζε Bentley, vnlgo κατασκιάζει. Ex eodem hoc carmine fortasse petitnm, qnod Lncian. Amor. c. 3 significat: ἱλαραὶ μὲν τῶν ὀμμάτων αἱ βολαὶ τακερῶς ἀνυγραίνοντο, τὴν φωνὴν δ᾽ ἴσην τῇ Λυκάμβου θυγατρὶ λεπτὸν ἀφηδύνων.

Fr. 30. Athen. XV 688 C: καὶ ἀλλαχοῦ δ᾽ (Ἀρχίλοχος) ἔφη· Ἐσμ. κτλ. — V. 1. ἐσμυρισμένας, B μυριχμένας, Wakefield ἐσμυρισμένη, fort. ἐσμυριγμέναι, conf. Hesych.: ἐσμυριγμέναι, μεμυρισμέναι.

31. [11.] 543

Οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφετο.

32. [5.]

Ὥσπερ παρ' αὐλῷ βρῦτον ἢ Θρῆϊξ ἀνὴρ
ἢ Φρὺξ ἔβρυζε, κύβδα δ' ἦν πονευμένη.

33. [26.]

Κατ' οἶκον ἐστρωφᾶτο δυσμενὴς βάβαξ.

34. [19.]

Πρὸς τοῖχον ἐκλίνθησαν ἐν παλινσκίῳ.

35.

Κύψαντες ὕβριν ἀθρόην ἀπέφλοσαν.

Fr. 31. Athen. XV 688 C: *Τῷ τοῦ μύρου ὀνόματι πρῶτος Ἀρχίλοχος κέχρηται λέγων· Οὐκ ἂν κτλ.* Cf. Eust. Il. 1300, 41. Adde Plut. vit. Pericl. c. 28: *ταῦτα τῆς Ἐλπινίκης λεγούσης ὁ Περικλῆς μειδιάσας ἀτρέμα λέγεται τὸ τοῦ Ἀρχιλόχου πρὸς αὐτὴν εἰπεῖν· οὐκ ἂν μ.* (Fa *οὐ κἂν μύριοι*) *γρ. ἐοῦσ' ἠλείφεο*(V *ἠλείφετο*). — *γραῦς*, Schneidewin *γρηῦς*.

Fr. 32. Athen. X 447 B: *Τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν . . . Ἀρχίλοχος· Ὥσπερ κτλ.* — V. 1. *παρ' αὐλῷ* Dindorf et Hermann, vulgo *αὐλῷ*. — *Θρῆϊξ* Toup, vulgo *Θρᾷξ*. — V. 2. *ἔβρυζε*, conieci *βρυάζει*, ut Athenaeus non integrum attulerit locum, vel *ἢ Θρῆϊξ ἂν ἢ Φρὺξ ἐβρύαζε*. Cf. Hesych. *ἐβρύαζε· εὐωχεῖτο* et *βρυάζει, θάλλει, τρυφᾷ*. — *κύβδα δ' ἦν* AB, *κύβδ' ἦν* PVL. — *πονευμένη*, Toup *πωλευμένη*.

Fr. 33. Orio 37, 4: *Βάβαξ ὁ λάλος. Ἀρχίλοχος· Κατ' κτλ.* Et. M. 183, 50, ubi versus Aristophani tribuitur, pro *δυσμενής* exhibet *μισητός* (idque etiam tuetur Et. Vind. Cod. CXXXI, qui poetae nomine omisso affert) et *βάβαξ* om.

Fr. 34. Harpocratio 143, 7: *Παλίνσκιον . . . Ἀρχίλοχος τριμέτροις· Πρὸς κτλ. ἀντὶ τοῦ ἐν σκοτεινῷ.* Respicit Phot. 374, 10 et Suid. v. *παλίνσκιον*. — *ἐκλίνθησαν* Toup, vulgo *ἐκινήθησαν*. — *παλινσκίῳ*, N *παλισκίῳ*.

Fr. 35. Photius 193, 22: *Κύψαι· ἀντὶ τοῦ ἀπάγξασθαι· Ἀρχίλοχος· Κύψαντες . . . ἀπέφλοσαν.* Lobeck et Schneidewin *ἀπέφλυσαν*, ego *ἀπέβλυσαν*. correctio incerta, vid. Anth. Pal. VII 351 ubi Lycambides loquuntur: *ἀλλὰ καθ' ἡμετέρης γενεῆς ῥιγηλὸν ὄνειδος φήμην τε στυγερὴν ἔφλυσεν Ἀρχίλοχος.* sed ibid. 352: *πολλὰ δ' ὁ πικρὸς αἰσχρὰ καθ' ἡμετέρης ἔβλυσε παρθενίης Ἀρχίλοχος.* Alio sensu, quam qui hic requiritur, Apoll. Rhod. III 582 *ὄφρ' ἀλεγεινὴν ὕβριν ἀποφλύξωσι* dixit.

36. [25.]

'Αλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.

37. [22.] 544

Χαίτην ἀπ' ὤμων ἐγκυτὶ κεκαρμένος.

38. [20.]

Προὔθηκε παισὶ δεῖπνον αἰηνὲς φέρων.

39. [8.]

Βοῦς ἐστὶν ἡμῖν ἐργάτης ἐν οἰκίῃ
κορωνός, ἔργων ἴδρις.

40. [16.]

Τοῖον γὰρ αὐλὴν ἕρκος ἀμφιδέδρομεν.

41.

'Αμισθὶ γάρ σε πάμπαν οὐ διάξομεν.

Fr. 36. Clem. Alex. Str. VI 739: *'Αρχιλόχου τε ὁμοίως εἰρηκότος 'Αλλ' κτλ. παρὰ τὸ 'Ομηρικόν* (Od. ξ 228)· *"Αλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις. Εὐριπίδης ἐν τῷ Οἰνεῖ φησίν· 'Αλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.* Sext. Empir. adv. Math. XI 699 (555 ed. Bekk.) adscripto Homeri versu: *καὶ κατ' 'Αρχίλοχον ἄλλος* (C *ἄλλως*) *ἄλλῳ ἐπ'* (*ἐπὶ* CR) *ἔργῳ καρδίην* (*κραδίην* CR) *ἰαίνεται.* Cram. An. Par. III 488, 17: *τοῦτο 'Αρχίλοχος μετὰ φράσεως* (l. *μετέφρασε*· *'Ως*) *ἄλλος ἄλλῳ κραδίην γένηται.* Unde possis initio versus etiam *ἐπ' ἄλλος* vel *ὡς ἄλλος* coniicere.

Fr. 37. Et. M. 311, 40: *'Εγκυτὶ ἐπίρρημα σημαῖνον τὸ ἐν χρῷ. 'Αρχίλοχος· Χαίτην κτλ. τουτέστι πρὸς αὐτῷ τῷ δέρματι.* — *ἐγκυτί,* conieci *ἐγκυτίς,* cf. Ioann. Alex. 38, 20: *ἐγκυτίς, ὃ χωρὶς τοῦ σ Καλλίμαχος εἶπεν· σὺ δ' ἐγκυτὶ τέκνον ἐκέρσω.* Hecker *χαίτην ἄμωμον* coni.

Fr. 38. Et. M. 32, 26: *Αἰηνές· τὸ δεινὸν καὶ πολύστονον· 'Αρχίλοχος· Προὔθηκε κτλ.* Schneidewin Epodis adscripsit, referens ad illud carmen, ex quo sunt servata fr. 86. 87. 88.

Fr. 39. Et. M. 530, 27: *Κορωνός· ὁ γαῦρος καὶ ὑψαυχενῶν . . . 'Αρχίλοχος· Βοῦς ἐστιν ἡμῖν κτλ.* ubi M *βοῦς δὲ,* V om. *ἔργων ἴδρις.* Eadem Et. Gud. 339, 31: *'Αρχέλαος· βοῦς δὲ ἡμῖν κτλ.* Cram. An. Par. IV 76, 13: *'Αρχέλοχος,* ubi *ἔργον.*

Fr. 40. Schol. Hom. Il. ι 90: *Τὸ περιθεῖν τοῦτο δηλοῖ* (*περιέχειν πανταχόθεν*)· *οἷον καὶ 'Αρχίλοχος δηλοῖ, ποιήσας· Τοῖον κτλ.*

Fr. 41. Apollon. Dysc. de Adv. Bekk. An. II 571, 12: *Τὸ γοῦν 'Αρχιλόχειον συνεστάλη· 'Αμισθὶ κτλ.* Herodian. ap. Hermann. de

42. [18.]

Ἐσθλὴν γὰρ ἄλλην οἶδα τοιούτου φυτοῦ
εἴκασιν.

43. [21.]

Ἵστη κατ' ἤκην κύματός τε κἀνέμου.

44. [24.] 545

Μετέρχομαί σε, σύμβολον ποιεύμενος.

45. [27.]

Τρίαιναν ἐσθλὴν καὶ κυβερνήτην σοφόν.

46. [73.]

Φηλῆτα νύκτωρ περὶ πόλιν πολευμένῳ.

Emend. Gr. 449 et Cram. An. Ox. III 300, 24 affert sine p. nom. et omisso *διάξομεν*, pro quo Elmsley *διδάξομεν*. Ad Nessum Centaurum probabiliter refert Schneidewin, vid. fr. 146.

Fr. 42. Schol. Theocr. II 48: *ἴσως φυτὸν αὐτὸ (ἱππομανές) ἔφη ὁ Θεόκριτος οἱονεὶ φῦμα ἀπὸ τοῦ φύεσθαι ἐν τοῖς πώλοις· ὥς φησιν Ἀριστοτέλης. λέγει γὰρ καὶ Ἀρχίλοχος τὸ φῦμα φυτόν· Ἐσθλὴν κτλ. ἀντὶ τοῦ φύματος.—εἴκασιν*, Toup *ἴασιν* vel *ἴησιν*, Hemsterhuys *ἄκησιν*. Fortasse plane delendum, ut Archilochus scripserit *ἐσθλὴν γὰρ ἀλκὴν οἶδα τοιούτου φυτοῦ.*

Fr. 43. Et. M. 424, 18: *ἤκη· ἡ ὀξύτης τοῦ σιδήρου· Ἀρχίλοχος ἵστη κτλ.* et 47, 22: *Ἀκή· ἡ ὀξύτης· παρὰ τὸ ἥκω γίνεται ἡκή, ὃ σημαίνει τὴν ὀξύτητα· Ἀρχίλοχος· ἵστη κ. ἤ. κ. κυανέου* (sed Sorb. *ἱστήκην κύματός τε καὶ ἀνέμου*), *καὶ κατὰ συστολὴν ἀκή.* Et. Vind. cod. 158: *Ἀρχίλοχος ἱστήκει κατήκην κτλ.* Sine poetae n. Zonar. 983. Respicit Favorin. 190, sed confundens cum Homerico *ἵστη δὲ μέγα κῦμα.* Hecker *κατ' ἠγὴν* et *κἠνέμου.*

Fr. 44. Schol. Pind. Ol. XII 10: *Φιλόχορος δὲ τὰς ἐκ φήμης μαντείας τουτέστιν κληδόνας καὶ πταρμοὺς ἢ φωνὰς ἢ φήμας ἢ ἀπαντήσεις σύμβολά φησι λέγεσθαι, ὡς Ἀρχίλοχος· μετ. σε σύμβ. ποιουμένη·* (Gott. Vrat. D *ποιούμενος*) *χρήσασθαι δὲ αὐτοῖς πρώτην Δήμητρα.* Schol. Il. φ 199: *ἰωνικῶς μετὰ ἀντὶ τοῦ πρὸς ἀνέμους ἦλθεν, ὡς Ἀρχίλοχος· μετέρχομαι ἐς σύμβουλον ποιεύμενος.*

Fr. 45. Hermias in Arist. T. IV p. 10 A ed. Bekker: *ἐπειδὴ γὰρ ἐκεῖνοι σοφὸν ὠνόμαζον τὸν ἥντινα οὖν ἐπιόντα τέχνην, ὧν εἷς ἦν καὶ ὁ Ἀρχίλοχος λέγων· Τρίαιναν ἐσθλὸν* (recte ed. Ven. 1545 *ἐσθλὴν*) *καὶ κυβερνήτην σοφὸν* (ed. Ven. *κυβερνητὴς σοφός*).

Fr. 46. Eust. Od. 1889, 1: *Φιλήτου δὲ τοῦ εἰρημένου χρῆσις μὲν παρά τε Ἡσιόδῳ καὶ παρὰ Ἀρχιλόχῳ ἐν τῷ Φιλήτα ν. π. π. πολευμένῳ.*

47.

Ἀλλ' ἀπερρώγασί μοι
μύκεω τένοντες.

48. [28.]

Παῖδ' Ἄρεω μιηφόνου.

49.

Pausan. VII 10, 6: *Περσεῖ τῷ Φιλίππου πρὸς Ῥωμαίους ἄγοντι εἰρήνην κατὰ συνθήκας, ἃς ὁ πατήρ οἱ Φίλιππος ἐποιήσατο, ἐπῆλθεν ὑπερβῆναι τοὺς ὅρκους, καὶ ἐπί τε Σαπαίων τὸν βασιλέα Ἀβρούπολιν στράτευμα ἀγαγών, ἐποίησεν ἀναστάτους, Ῥωμαίων συμμάχους ὄντας. Σαπαίων δὲ τούτων καὶ Ἀρχίλοχος ἐν ἰαμβείῳ μνήμην ἔσχε.* Contra Strabo *Sapaeorum* recens esse nomen eorum, qui antiquitus *Saii* dicti sint, perhibet X 457: *τινὲς δὲ Σάμον καλεῖσθαί φασιν ἀπὸ Σαΐων, τῶν οἰκούντων Θρακῶν πρότερον, οἳ καὶ τὴν ἤπειρον ἔσχον τὴν προσεχῆ, εἴτε οἱ αὐτοὶ τοῖς Σαπαίοις ὄντες ἢ τοῖς Σιντοῖς, οὓς Σίντιας καλεῖ ὁ ποιητής, εἴθ' ἕτεροι. Μέμνηται δὲ τῶν Σαΐων Ἀρχίλοχος· Ἀσπίδα κτλ.* (fr. 6) cf. etiam Strabo XII 549 et VII T. II p. 87 ed. Cramer. Sed Eust. ad Dionys. Perieg. 767: *εἶτα παρὰ Ἀρχιλόχῳ* (*Αἰσχύλῳ* C.) *Σάϊοι καὶ πάλιν Σάπαι* (haec tria verba om. d) utrumque nomen Archilocho vindicare videtur. — Ab hoc loco alienum videtur, quod significat Oenomaus Archilochum deridens ap. Euseb. Pr. Ev. V p. 229: *Οὐ γὰρ δὴ οὐκ εἰσι καὶ νῦν ἕτοιμοι κωμῳδεῖσθαι καὶ Σαβαῖοι* (CFG *Σαζαῖοι*, Schneidewin *Σαπαῖοι* corrigit), *καὶ Λυκάμβαι.* nam, quamquam haud dubie ex Archilocho petitum est, potius videtur nomen impudici hominis esse, cf. ib. p. 228: *Λοιδορῆσαι μὲν πικρῶς τὰς οὐκ ἐθελούσας ἡμῖν γαμεῖσθαι, ἅψασθαι δὲ καὶ κιναίδων, ἐπειδὴ τῶν ἄλλων πονηρῶν πολὺ πονηρότεροί εἰσιν.*

ἤγουν κλέπτη νυκτιλόχῳ. Scripsi *φηλήτα*, vel potius *φηλῆτα*, ut Antimachus in Bekk. An. III 1187: *Πατρί τε κυανοχαίτα Ποσειδάωνι πεποιθώς.* — *πολευμένῳ*, Liebel fort. rectius *πωλευμένῳ*.

Fr. 47. Choerobosc. I 139 (Bekk. An. III 1393): *Μύκης . . . σημαίνει δὲ καὶ τὸ αἰδοῖον τοῦ ἀνθρώπου, ὅπερ ἰσοσυλλάβως ἔκλινεν Ἀρχίλοχος εἰπών· Ἀλλ' ἀπ. μύκεω τένοντες.* ubi cod. Marc. *Ἀντίλοχος*, cf. Cram. An. Ox. III 231, 5: *Ἀντίλοχος· ἀλλ' ἀπερρώσι μύκεω.* — V. 2. *μοι* adiecit Cobet.

Fr. 48. Eust. Il. 518, 22: *κλίνεται δὲ καὶ ὡς σπονδειακόν, Ἄρης, Ἄρου, ὅθεν κατ' Ἰάδα διάλεκτον ἐπεκτείνας Ἀρχίλοχος ἔφη ἐν τοῖς τριμέτροις· Παῖδα Ἄ. μ.*

ΤΕΤΡΑΜΕΤΡΑ.

50. [83.] 547

Ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε
ῥήματ'.

51. [10.]

Ἔα Πάρον καὶ σῦκα κεῖνα καὶ θαλάσσιον βίον.

52. [87.]

Ὡς Πανελλήνων ὀϊζὺς ἐς Θάσον συνέδραμεν.

53. [45.]

Μηδ' ὁ Ταντάλου λίθος
τῆσδ' ὑπὲρ νήσου κρεμάσθω.

54. [35.]

Γλαῦκ', ὅρα, βαθὺς γὰρ ἤδη κύμασιν ταράσσεται

Fr. 50. Aristoph. Pac. 603: *Ὦ σοφώτατοι γεωργοί, τἀμὰ δὴ ξυνίετε ῥήματα.* ubi Schol.: *Πρὸς ταῦτα καὶ Κρατῖνος ἐν Πυτίνῃ πεποίηκεν· Ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε. ἔστι δὲ πρὸς τὰ Ἀρχιλόχου· Λιπερνῆτες κτλ.* — *ὦ* ex Aristoph. additum, nisi *ἆ* malis. — *ξυνίετε*, in proecdosi *συνίετε* scripsi.

Fr. 51. Athen. III 76 B: *Τῶν δ' ἐν Πάρῳ τῇ νήσῳ (σύκων) ... Ἀρχίλοχος μνημονεύει, λέγων οὕτως· Ἔα κτλ.* — *ἔα* monosyllabum, ut apud Homer. Il. E 253: *τρεῖν μ' οὐκ ἐᾷ Παλλὰς Ἀθήνη* et saepius apud Atticos poetas, nisi forte hic versus est tetrameter iamb. — *κεῖνα*, Schneidewin *κεινά*.

Fr. 52. Strabo VIII 370: *Ἡσίοδον μέντοι καὶ Ἀρχίλοχον ἤδη εἰδέναι (φησὶν Ἀπολλόδωρος) καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας· τὸν μὲν περὶ τῶν Προιτίδων λέγοντα, ὡς Πανέλληνες ἐμνήστευον αὐτάς, τὸν δὲ ὡς Πανελλ. κτλ.*

Fr. 53. Schol. Pind. Ol. I 97: *Ἀλκαῖος καὶ Ἀλκμὰν λίθον φασὶν ἐπαιωρεῖσθαι τῷ Ταντάλῳ· ...ἐποίησε δὲ καὶ Ἀρχίλοχος· Μηδ' κτλ.* et Plutarch. praec. ger. reip. c. 6. Resp. Pausan. X 31, 12. — *ὑπὲρ* Plut., *ὑπὸ* Schol. Pind. (Boeckh *ὑπὲρ* ex Vrat. 1, at Vrat. 4, ut Schneider enotavit *τάνταλος . . ὑπὸ ν. κρεμάσθη.*)

Fr. 54. Heraclides Pont. Alleg. Hom. c. 5: *καθάπερ Ἀρχίλοχος μὲν ἐν τοῖς Θρᾳκικοῖς ἀπειλημμένος δεινοῖς τὸν πόλεμον εἰκάζει θαλαττίῳ κλύδωνι, λέγων ὧδέ πως· Γλαῦκε κτλ.* Plut. de superstit. c. 8 usque ad *χειμῶνος* v. 3 affert, om. auct. nom. v. 1. Schol. Hermog. T. V 526 v. 1 et 2, Theophr. de Sign. Tempest. 3, 8: *Ἐὰν ἐπὶ κορυφῆς ὄρους νέφος ὀρθὸν στῇ, χειμῶνα σημαίνει, ὅθεν καὶ Ἀρχίλοχος· Γλαῦχ' ὅρα ... νέφος, ὅ ἐστι σημεῖον χειμῶνος.* — V. 1. *Γλαῦκ'* scripsi,

πόντος, ἀμφὶ δ' ἄκρα Γυρέων ὀρθὸν ἵσταται νέφος,
σῆμα χειμῶνος· κιχάνει δ' ἐξ ἀελπτίης φόβος.

55. [29.] 548

Καὶ νέους θάρσυνε· νίκης δ' ἐν θεοῖσι πείρατα.

56. [32.]

Τοῖς θεοῖς τίθει τὰ πάντα· πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί,
πολλάκις δ' ἀνατρέπουσι καὶ μάλ' εὖ βεβηκότας
ὑπτίους κλίνουσ'· ἔπειτα πολλὰ γίγνεται κακά,
καὶ βίου χρήμῃ πλανᾶται καὶ νόου παρήορος.

57. [148.]

Τὸν κεροπλάστην ἄειδε Γλαῦκον.

v. *Γλαῦχ'*, *Γλαῦκε* codd. Heracl. probante Schneidewino, ap. Plut. *γλαυκεοράβδοις*. — V. 2. *Γυρέων* Xylander et Lobeck, quamquam fortasse rectius *γυρέων* scripseris, ut sit appellativum, Heraclides *γυρεὸν* (AB *γύρεον*), Plut. *ἄκρα γυρεῦον* (*γυρέων* Pol. Jannot, *γυρῶν* D, *γυρεύων* CEG Harl. coll. n. Mosc. 3), Theophr. *ἄκρας* sed om. *Γυρέων*. — *ὀρθὸν*, Heracl. *ὅρπον* (A *ὅρπων*, B *ἕρπων*) ut coniicias alios *ὀρπὸν* id est *nigrum* legisse. Ceterum Lud. Dindorf huc respicere putat Cic. ad Att. V 12: „Itaque erat in animo nihil festinare, nec me Delo movere, nisi omnia *ἀκρωτηρίων οὖρια* vidissem.“ sic *T* nisi quod *omina*, M *ἀκρατηρέων iura*, hinc Schneidewin: *nisi ἀμφὶ ἄκρα Γυρῶν omnia pura vidissem*. Poterat lenius *nisi omnia ἄκρα Γυρέων pura* (vel etiam *οὔρια*) *vidissem*.

Fr. 55. Clem. Alex. Strom. VI 739: (*Ἀρχίλοχος*) *ἔτι κἀκεῖνο μεταφράζων Νίκης ἀνθρώποισι θεῶν ἐκ πείρατα κεῖται, διὰ τοῦδε τοῦ ἰάμβου δῆλός ἐστι· Καὶ κτλ.* — *θάρσυνε* Elmsley, vulgo *καὶ νέους θαρρῦναι*, idque tribuebatur Clementi.

Fr. 56. Stob. Flor. CV 24: *Ἀρχιλόχου* (A om. locum). — V. 1. *τίθει τὰ πάντα* Grotius, *τιθεῖν ἅπαντα* Iacobs, vulgo *τίθει πάντα*, Vind. *τ' εἰθεῖα π.*, B *τ' εἰ θεῖα πάντα*. Cf. Aesch. Pers. 224: *ταῦτα δ' ὡς ἐφίεσαι πάντα θήσομεν θεοῖσι*. Fort. imperativi forma productior latet *τίθητι*, certe apud Hesych. *τίθησι· τιθεῖ* scribendum *τίθησι* vel *τίθητι· τίθει*. Schneidewin coniecit *τοι ῥεῖα πάντα*. — V. 4. *κλίνουσ'* Valckenaer, vnlgo *κινοῦσ'*. Post hunc versum quaedam excidisse videntur, ut etiam Meineke suspicatur. — V. 5. *χρήμῃ* Abresch, vulgo *χρὴ μή*, Vind. *χρήμη*. Schoemann coni. *καὶ βίου χρήμῃ πλάναι τε καὶ νόος παρήορος*, quod probans C. Fr. Hermannn praeterea *καὶ νόου παρηρία* scripsit, Hartung *βίου χρῄζων* edidit.

Fr. 57. Schol. Hom. Il. ω 81: *οἱ νεώτεροι κέρας τὴν συμπλοκὴν τῶν τριχῶν ὁμοίαν κέρατι· τὸν κερ. ἄ. Γ. Ἀρχίλοχος*. cf. Plut. de sollert. an. c. 24: *καὶ τὸ κέρας τρίχα λέγεσθαι . . . καὶ τὸν παρ' Ἀρχιλόχῳ κεροπλάστην φιλόκοσμον εἶναι περὶ κόμην καὶ καλλωπιστήν*. Adde Hesych. v. *Κεροπλάστης* et Poll. II 31.

58. [33.]

Οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον,
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ' ὑπεξυρημένον, 549
ἀλλά μοι σμικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλέως βεβηκὼς ποσσί, καρδίης πλέος.

59. [39.]

Ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσίν,
χίλιοι φονῆες ἐσμέν.

Fr. 58. Dio Chrys. T. II 456 affert v. 1. 2 et ex parte v. 3. 4: *Ὁ δ' Ἀρχίλοχος περὶ στρατηγοῦ λέγων οὕτω φησίν· Οὐ . . . ἀλλά μοι, φησίν, εἴη ῥαιβὸς ἀσ. β. καὶ ἐπινοήμασιν δασύς.* — V. 3 et 4 exhibet Galen. in Hippocr. de Artic. III. T. XVIII 1, 537: *τὸ μὲν γὰρ διὰ τοῦ κ λεγόμενον ῥοικοειδέα καὶ παρὰ Θεοκρίτῳ . . . καὶ παρ' Ἀρχιλόχῳ· ἀλλὰ κτλ.* et rursus ib. 604 leguntnr v. 1. 3. 4: *ὥστε καὶ αὐτῶν τῶν κατὰ φύσιν ἐχόντων τῶν ῥαιβῶν ἢ ῥοικῶν ὀνομαζομένων, ἀσφαλέστερον δὲ καὶ δυσανατρεπτότερον ἵστασθαι τῶν ἀκριβῶς ἐχόντων τὰ σκέλη ὀρθά· δηλοῦται δὲ τοῦτο κἀξ ὧν Ἀρχίλοχος εἶπεν, οὐ φιλέω . . . . ἀλλ' ὅς μοι φησίν, μακρὸς εἴη κτλ.* Schol. Hippocrat. ed. Daremberg (Notices des MS. Médicaux p. 211): *Ῥοικόμηροι· Βακχεῖος φησὶν ἐξώγλουτοι· ῥοικοὶ γὰρ οἱ καμπύλοι, ὡς Ἀρχίλοχος φησίν· ἀλλά μοι σμικρὸς εἴη κ. π. κν. εἶδεν ῥοικὸς ἀσφαλέως βεβηκὼς ποσίν. Ἡρακλείδης δὲ ὁ Ταραντῖνος ῥοικόν φησιν εἶναι τὸ ἔσω νεῦον καὶ σκαμβόν.* — V. 1. *διαπεπλιγμένον* Hemsterhnys, Dio *διαπεπληγμένον* (sed codd. *διαπεπλεγμένον*), Galen. *διαπεπηγμένον.* — V. 2. *ὑπεξυρημένον,* U *ὑπεξηιρρημένον,* A *ὑπεξηρημένον,* D *ὑπερξηρημένον.* — V. 3. *ἀλλά μοι μικρὸς* (*σμικρός* ex Schol. Hippocr. restitui) *τις εἴη* Iacobs. Galen. priore l. *ἀλλὰ μικρός τις εἴη,* altero *ἀλλ' ὅς μοι μακρὸς εἴη.* Sch. Theocr. IV 49: *ῥοικόν· τὸ καμπύλον· Ἀρχίλοχος· ἀλλά μοι ῥοικός τις εἴη κατὰ κνήμην ἰδεῖν.* — V. 4. *ῥοικός* Galen. Sch. Theocr., *ῥαιβός* Dio, atque ita Pollux II 193: *ῥαιβοὺς δὲ καλοῦσιν οἷς καμπύλα εἰς τὸ ἔνδον τὰ σκέλη, βλαισοὺς δὲ οἷς τὸ ἀπὸ τῶν γονάτων εἰς τὸ ἔξω ἀπέστραπται· καὶ τὸ μὲν Ἀρχίλοχος, τὸ δὲ Ξενοφῶν λέγει.* Respicit haec Herodes Attic. ap. Philostr. vitt. Soph. p. 552 (238 ed. Kayser): *καὶ κνήμην μικρὸν εἰς τὰ ἔξω κυρτουμένην καὶ παρέχουσαν τῇ βάσει τὸ εὖ βεβηκέναι.* — *ἀσφαλέως* Gal., *ἀσφαλῶς* Dio. — *βεβηκώς,* Galen. priore l. *βεβηκυίας.* — *ποσσί, καρδίης πλέος* scripsi, Galen. *ποσὶ καρδίης* (poster. l. *καρδίας*) *πλέως.* Longe aliam loctionem praebet Dio, ubi vulgo *καὶ ἐπινοήμασιν δασύς,* undo olim *κἀπινώμασιν δασύς* scripsi, sed. codd. *καὶ ἐπὶ κνήμαισι* (*κνήμεσιν*), quod non recte probat Emperius, qui interpolationibus auctos osse censet v. 3 et 4, pro quibns unum hnnc a poeta profectum esse putat:

ἀλλά μοι ῥοικός τις εἴη κἀπὶ κνήμαισιν δασύς.

At Dio momoriter haec adscripsit. Goel coni. *ποσσί, καὶ τριχὸς πλέως,* Kayser *καὶ τριχώματος πλέως,* Schneidewin *καὶ τριχουλίῃ δασύς,* ipse aliquando *κἀπὶ γναθμοῖσιν δασύς* conieci.

Fr. 59. Plut. vit. Galb. c. 27: *Ὥσπερ δέ φησιν Ἀρχίλοχος· Ἑπτὰ κτλ., οὕτω τότε πολλοὶ τοῦ φόνου μὴ συνεφαψάμενοι, χεῖρας δὲ καὶ ξίφη καθαιμάσσοντες ἐπεδείκνυντο.*

60.

Ἐρξίη, πῇ δηὖτ᾽ ἄνολβος ἀθροΐζεται στρατός;

61.[1] [42.]

Ἔλπομαι, πολλοὺς μὲν αὐτῶν Σείριος καταυανεῖ, ὀξὺς ἐλλάμπων.

62. [74.]

Ἐρξίων, ἐτήτυμον γὰρ ξυνὸς ἀνθρώποις Ἄρης.

63. [34.]

Οὔ τις αἰδοῖος μετ᾽ ἀστῶν κἀναρίθμιος θανών

Fr. 60. Keil Anal. Gramm. p. 5, 1: *Τροχαῖος δ᾽ ἐκλήθη, ὅτι τροχαλὸν ἔχει τὸν ῥυθμόν· καὶ γὰρ ὁ Ἀρχίλοχος ἐπὶ τῶν θερμῶν ὑποθρέων αὐτῷ κέχρηται, ὡς τό· ἐξίη πῇ δὲ ἠύτε ἄ. ἀθροίζεται στ.* ubi *ἐπὶ τῶν θερμῶν ὑποθηκῶν* scribendum esse significavi: eadem Gaisford Hephaest. p. 169 ed. sec. ex cod. S edidit: *ὁ δὲ τροχαῖος, ὅτι χαλὸν ἔχει τὸν ῥυθμόν· καί γε οὖν Ἀρχίλοχος ἐπὶ τῶν θεσμῶν ὑποθέσεων αὐτῷ κέχρηται, ὡς ἐν τῷ· ἔρξη πῇ δῆτ᾽ κτλ.* Sumta haec sunt ex Heliodoro, eadem latine vertit Mar. Victor. II 5, 8: „Tetrametrum autem catalecticum, quod Archilochium et Epicharmium vocatur, praeter cetera inlustre, est aptum festinis narrationibus“: *ὑποθέσεις* (hoc est *ὑποθήκαι*) non satis recte quodvis argnmentnm interpretatus. Ipsum hunc versum exhibet etiam Hephaestio p. 34, qui postquam Archilochi fr. 97 attulit, pergit: *τετράμετρον δὲ καταληκτικόν, οἷον Ἐρξίη* (hoc om. MC) *πῆ δῆτ᾽* (*δ᾽ ηὖτ᾽* MCPS) *ἄ. ἀθρ. στρατός* (*ὁ στρατὸς* Fl. et pars codd.) cod. Nan. *ἔρξας ἰῆ· πῆ δ᾽ ἦν κατ᾽ ἄνολβος*. Schol. Heph. p. 175 bis affert, ubi *δῆτ᾽*, sed S *δηὖτ᾽*. Ceterum Schneidewin *κῆ* pro *πῆ* requirit. *Ἐρξίη* vocativus recte se habet, alloquitur poeta eundem amicum, qui fr. 62 *Ἐρξίων* appellatur paullulum mutata nominis forma, qnemadmodum in Erinnae epigr. 6 eadem mulier *Βαυκώ* et *Βαυκίς* dicitur, cf. etiam Etym. cod. Vossiani locus, quem Gaisford adscripsit: *Ἐρξίας· ὄνομα· ἐρξίη πῆ δ᾽ αὖτ᾽ ἄν. ἀθρ. στ. παρὰ τὸ ῥέξω ῥεξίας καὶ ὑπερθέσει ἐρξίας, ὁ πρακτικός.*

Fr. 61. Plut. Sympos. Quaest. III 10, 2: *Τὸν δὲ ἥλιον ἀναρπάζειν μᾶλλον ἐκ τῶν σωμάτων τὸ νοτερὸν διὰ τὴν πύρωσιν· πρὸς ὃ καὶ τὸν Ἀρχίλοχον εἰρηκέναι φυσικῶς· Ἔλπομαι κτλ.* Respicit Hesychius *Σείριος· ὁ ἥλιος καὶ ὁ τοῦ κυνὸς ἀστήρ. σειρίου κυνὸς δίκην Σοφοκλῆς τὸν ἀστρῷον κύνα, ὁ δὲ Ἀρχίλοχος τὸν ἥλιον.* Imitatur Lycophr. 397: *ἀκτὶς Σειρίου καταυανεῖ.*

Fr. 62. Clem. Alex. Str. VI 739: *καθάπερ ἀμέλει κἀκεῖνο τὸ ἔπος* (Il. σ 309) *Ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα, μεταποιῶν αὐτὸς (ὁ Ἀρχίλοχος) ὧδέ πως ἐξήνεγκεν· Ἔρξω· ἐτήτυμον κτλ.* Scripsi *Ἐρξίων*, quod nomen non diversum ab *Ἐρξίης*, Meineke *Ἔρρ᾽ ἰὼν* coniecit, Hartung *ἄρχ᾽ ἰών*.

Fr. 63. Stob. Flor. CXXVI 4: *Ἀρχιλόχου* (sic Trinc.). — V. 1. *κἀναρίθμιος* scripsi, vulgo *καὶ περίφημος* et sic etiam Vind., Salmasius

γίγνεται· χάριν δὲ μᾶλλον τοῦ ζοοῦ διώκομεν
[ζωοί· κάκιστα δὲ τῷ θανόντι γίγνεται.]

64. [40.]

Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομέειν ἐπ' ἀνδράσιν.

65. [75.]

Ἓν δ' ἐπίσταμαι μέγα,
τὸν κακῶς με δρῶντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς.

66. [31.]

Θυμέ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε,
ἐνάδεν, δυσμενῶν δ' ἀλέξευ προσβαλὼν ἐναντίον
στέρνον, ἐν δοκοῖσιν ἐχθρῶν πλησίον κατασταθείς
ἀσφαλέως· καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο, 551
μήτε νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο·

καίπερ εὔφημος, Porson *καίπερ ἴφθιμος*. — V. 2. *ζοοῦ* Porson, vulgo *ζωοῦ*. — V. 3. cancellis sepsi, nam videntur apud Stobaeum duo fragmenta, fortasse utrumque Archilochi, in unum coaluisse. — Porson coni. *οἱ ζοοί· κάκιστα δ' αὐτῷ τῷ θανόντι* (Schneidewin *κατθανόντι*) *γίγνεται*, poteratque versus etiam aliter suppleri, velut *κακῶν κάκιστα τῷ θ. γ.* vel *κάκιστα δ' ὦ παῖ τ. θ. γ.*

Fr. 64. Stob. Flor. CXXV 5: *Ἀρχιλόχου* (ita A, om. lemma Trinc., qui contra CXXV 3: *Ἀρχιλόχου* exhibet pro *Μοσχίωνος ἐκ Φεραίων* et 10 pro *Τιμοκλέους Συνεργικά*). Adde Clem. Alex. Str. VI 738 et Schol. Odyss. χ 412. — *κερτομέειν*, Stob. *κερτομεῖν*.

Fr. 65. Theophil. ad Autolyc. II 37 p. 377: *ὁμοίως καὶ Ἀρχίλοχος· ἓν δ' ἐπίσταμαι κτλ.* — V. 2. *τὸν κακῶς με* scripsi (itaque Hecker), *τὸν κακῶς τι* edd. Hamb. Ox. Hagae Com., sed aliae *τὸν κακῶς* omisso *τι*, Schneidewin *τὸν κακωστί*. Aliis placebit *τὸν κακόν τι*.

Fr. 66. Stob. Flor. XX 28: *Ἀρχιλόχου*. — V. 1 affert Dionys. Hal. de comp. verb. c. 17 sine poetae n. — V. 2. *ἐνάδεν*, A *ἀνὰ δὲ εὖ*, Vind. *ἔναδεν* vel *ἄναδεν*, Grotius *ἄνεχε*, Liebel *ἄνα δέ*, ego *ἀναδέκευ* vel *ἀναδύευ*, *μένων δ' ἀλέξευ*, O. Schneider *δυσνῶν δ' ἀλέξευ*, Emperius *ἀντέχευ, μένων*. Equidem nunc non dubito, quid Archilochus scripserit: *ἀνὰ δ' ἔχευ*, secutus ut solet Homeri exemplum, velut Il. η 110: *ἀνὰ δὲ σχέο κηδόμενός περ*, nam haec germana est scriptura, non *ἀνὰ δ' ἴσχεο*, quae Aristarcho placuit. Sed deinde utrum *μένων* sit scribendum, an aliud quid lateat, ambiguum. Stoll scripsit *ἄνσχε', ἐμμενέως δ'*. — V. 3. *ἐν δοκοῖσιν* A Vind. acbw, vulgo *ἐν δοκοῖς*. Valckenaer coniecit *ἐνδόκοισιν* collato Hesych.: *ἔνδοκος, ἐνέδρα*. Possis *ἐν δοκῇσιν* coniicere, cf. Hesych.: *ἐν δοκῇ· ἐν ἐπιβουλῇ* et *Δόκαι· ἐνέδραι, παρατηρήσεις*. Hartung satis audacter: *ἄνεχε, δυσμενῶν δ' ἀλέξευ, προσβαλὼν ἐναντίον στέρνον, εὖ τοξεύματ', ἐχθρῶν κτλ.* — V. 4. *ἀσφαλέως*, bdf *ἀσφαλῶς*. — *ἀμφάδην*, A Vind. abcw *ἐμφάδην*. — V. 5. *μήτε* Meineke, vulgo *μηδέ*. — *οἴκῳ*, b *οἴμῳ*, Ilgen coni. *οἴκτῳ*. — V. 6 et

ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα
μὴ λίην· γίγνωσκε δ' οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.

67. [100.]

. . . . *Σὺ γὰρ δὴ παρὰ φίλων ἀπάγχεο.*

68. [14.]

. . . *Μάχης δὲ τῆς σῆς, ὥστε διψέων πιεῖν,*
ὣς ἐρέω.

69. [90.]

Νῦν δὲ Λεώφιλος μὲν ἄρχει, Λεώφιλος δ' ἐπικρατεῖ,
Λεωφίλῳ δὲ πάντα κεῖται, Λεωφίλου δ' ἀκούεται.

70. [37. 46.]

Τοῖος ἀνθρώποισι θυμός, Γλαῦκε, Λεπτίνεω πάϊ,

7 affert Apostol. XVIII 8 a. — *ἀσχάλα* bw, *ἄσχαλλε* ceteri libri. — V. 6. *γίγνωσκε* Stob., *γίνωσκε* Apost. — *ῥυσμὸς* Vind. ut vulgo, *ῥυθμὸς* AB a m. sec. cw.

Fr. 67. Aristot. Polit. VII 6, 3: *πρὸς γὰρ τοὺς συνήθεις καὶ φίλους ὁ θυμὸς αἴρεται μᾶλλον ἢ πρὸς τοὺς ἀγνῶτας, ὀλιγωρεῖσθαι νομίσας· διὸ καὶ Ἀρχίλοχος προσηκόντως τοῖς φίλοις ἐγκαλῶν διαλέγεται πρὸς τὸν θυμόν· οὐ γὰρ δὴ περὶ φ. ἀπάγχεο.* — *σὺ* Schneider et Meineke, *οὐ* libri. Hartung *ἀτὰρ μὴ περὶ φ.* — *παρὰ* Victorius et margo ed. Bas., libri ut videtur omnes *περί.* — *ἀπάγχεο*, *ἀπάγχετο* (*ἀπάγκετο*) P4, *ἀπάγχεαι* P1, *ἀπέγχεο* SbVb, *ἀπήγχεο* P5. Haud dubie est ex eodem carmine, ex quo fr. 66 petitum.

Fr. 68. Athen. X 433 E: *Τῆς δὲ δίψης οὐδέν ἐστι πολυποθητότερον ... καὶ ὁ Ἀρχίλοχος· Μάχης κτλ.*

Fr. 69. Herodian. *περὶ σχημ.* 57, 2: *Ἔστι τὸ τοιοῦτον σχῆμα (πολύπτωτον) καὶ παρά τισι τῶν ποιητῶν, ὡς παρὰ Ἀρχιλόχῳ· Νῦν δὲ κτλ.* — V. 1. *Νῦν δὲ Λεώφιλος μὲν* A, *νῦν μὲν Λεώφιλος* B, *ν. Λ. μὲν* CD. — *Λεώφιλος δ'*, *Λεωφίλου δ'* A, Nauck *Λεωφίλου δ' ἐστὶν κράτη.* — V. 2. *πάντα κεῖται*, conieci *πάντ' ἀνεῖται*, nisi malis *πάντ' ἀνῶκται.* Hecker *Λεωφίλου δὲ π. κεῖνα.* — *Λεωφίλου δ' ἀκούεται* Porson, *Λεώφιλος δὲ ἄκουε* AB, *Λεώφιλος δὲ ἄκουε* CD, Nauck *Λεώφιλος δὲ μακκοᾷ.* Fortasse scribendum *Λεωφίλῳ δ' ἀκούεται*, ut bis idem casus repetitus sit, nam grammaticus addit *παρὰ δὲ Ἀνακρέοντι ἐπὶ τριῶν*, contra alii ex hoc ipso loco coniiciunt, quatuor diversis casibus usum esse Archilochum, itaque Schneidewin *Νῦν . . . ἄρχει, Λεωφίλου δ' ἔπεα* (Ahrens *ἔπος*) *κρατεῖ, Λεωφίλῳ δὲ π. κ., Λεώφιλ' ἀλλὰ κλαύσεαι* (Ahrens *ἐς δ' ἄκουέ μευ*) et iam Fritzsche *Λεώφιλος δὲ κλαύσεται* coniecerat.

Fr. 70. V. 1 et 2. Theo Progymn. I 153 ed. Walz: *Ὅμηρον μεταφράζων, ὅτε φησί· Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε* (Od. σ 135), *ὁ Ἀρχίλοχος·*

γίγνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγῃ, 552
καὶ φρονεῦσι τοῖ', ὁκοίοις ἐγκυρέωσιν ἔργμασιν.

71. [43.]

Εἰ γὰρ ὡς ἐμοὶ γένοιτο χεῖρα Νεοβούλης θιγεῖν.

72. [96.]

Καὶ πεσεῖν δρήστην ἐπ' ἀσκὸν κἀπὶ γαστρὶ γαστέρα
προσβαλεῖν μηρούς τε μηροῖς.

73. [41.]

Ἤμβλακον, καὶ πού τιν' ἄλλον ἦδ' ἄτη κιχήσατο.

τοῖος ἀνθρώποισι θυμὸς (sic Par. Med. Rom., vulgo γὰρ θυμὸς) . . . γίγνεται θ. ὁκοῖον Ζ. ἐφ' ἡμέραν ἄγει. Eadem Schol. in Hermog. VII 934 (ubi v. 1 ἀνθρώποις νόος, v. 2 ὁκοῖον et ὁκοίην), Diog. Laert. IX 71: τοῖος (Frob. et Men. τοῖς) ἀνθρώποις νοῦς (Cobet ἀνθρώποισι θυμὸς) . . . . γίγνεται θ. ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγει. Suid. v. Πυρρώνειοι· τοῖς ἀνθρώποις νοῦς γίν. θ. ὁκοίην Ζεὺς ἡμέρην ἄγει (V ἄγοι), Stob. Ecl. Phys. I 38 nbi θυμὸς . . . γίνεται . . . ὁκοῖον (EV ὁκοίην) . . . ἄγῃ, Plnt. de nobil. c. 22, nbi γὰρ θυμὸς . . . ὁκοῖον . . . ἄγει, Anctor vitae Hom. (Gale Opnsc. 366) ubi θυμὸς γλαύκιε . . . παῖ γίνεται . . . ὁποῖον Ζ. ἐφ' ἡμέρην ἄ., Sext. Empir. adv. Math. VII 218 ed. Bekk: καὶ Ἀρχίλοχος δέ φησι τοὺς ἀνθρώπους τοιαῦτα φρονεῖν, ὁποίην (Vrat. Ciz. ὁποῖα) Ζ. ἐφ' ἡμέρην ἄγει. — V. 1. Schneidewin coniecit τοῖος ἀνθρώποις νόος γάρ. — V. 2. ἐπ' Diog., ἐφ' ceteri. — ἄγῃ Stob., ἄγει ceteri. — V. 3. adiunxit Iacobs ex Platonis Eryxia 397 E: ἔχει δ' ἔφη καὶ τἆλλα πράγματα οὕτω πάντα· ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι· καλῶς δ', ἔφη, δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι· καὶ φρονεῦσι τοῖ (τοιαῦτα Θ) ὁκοίοις ἐγκυρέωσιν (Stephanus ἐσκυρ.) ἔργμασιν (sic Stephan., libri ἐρύμασιν), unde Stob. Flor. XCII 21 et Apostol. XII 97 d nbi τοὶ ἄοικοι οἷς, sed recte ἔργμασιν.

Fr. 71. Plut. de *EI* ap. Delph. c. 5: *εἰ γὰρ ὤφελον, φησὶν ἕκαστος τῶν εὐχομένων, καὶ Ἀρχίλοχος· εἰ γὰρ κτλ.* — *ὡς*, Meineke *ὤν*, Wyttenbach *ὣς* fort. recte. — *χεῖρα*, Elmsley *χειρί*. Coniunxit Elmsley hunc versum cnm fr. seq., et sane videntur haec cohaerere, sed non continno se excipiunt.

Fr. 72. Schol. Eurip. Med. 674: *ἀσκὸν τοίνυν λέγει τὸν περὶ τὸν γαστέρα τόπον· Ἀρχίλοχος· καὶ πεσεῖ δρ. ἐπ' ἀ. κἀπὶ γ. γ. προσβάλλειν μ. τε μηροῖς. πεσεῖν* ed. Ven., *προσβαλεῖν* Elmsley, nisi quod *προσβαλέειν* et *θιγέειν* et *πεσέειν* ac praeterea *κἠπὶ* scripsit.

Fr. 73. Clem. Alex. Str. VI 739: *αὖθίς τε ὁ Ἀρχίλοχος τὸ Ὁμηρικὸν ἐκεῖνο μεταφέρων* (Il. ι 116) *Ἀασάμην οὐδ' αὐτὸς ἀναίνομαι, ἀντί νυ πολλῶν ὧδέ πως γράφει· Ἤμβλακον κτλ. Ἄτη*, correptam syllabam tuetur *ἀτέω*, *ἄλη* Hermann, *αὐάτη* (doleto *ἦδ'*) Schneidewin, idem *κου* requirit. Emperius *ἡ μάτη*, Meineke *ἡ ἀάτη*, eandem formam etiam Aeschylo restituens Ag. 730 *μηλοφόνοις ἀάταισιν* et Suppl.

74. [31.]

Χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ' ἀπώμοτον,
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων
ἐκ μεσημβρίης ἔθηκε νύκτ' ἀποκρύψας φάος 553
ἡλίου λάμποντος· λυγρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπτα γίγνεται
ἀνδράσιν· μηδεὶς ἔθ' ὑμῶν εἰσορῶν θαυμαζέτω,
μηδ' ὅταν δελφῖσι θῆρες ἀνταμείψωνται νομόν
ἐνάλιον καί σφιν θαλάσσης ἠχέεντα κύματα
φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' ἡδὺ ἦν ὄρος.

75. [36.]

Κλῦθ' ἄναξ Ἥφαιστε καί μοι σύμμαχος γουνουμένῳ
ἵλαος γενοῦ, χαρίζευ δ' οἷάπερ χαρίζεαι.

76. [44.]

Αὐτὸς ἐξάρχων πρὸς αὐλὸν Λέσβιον παιήονα.

106 *ἄταν δ' ἀάτᾳ μεταγνούς*, quem quidem versum ego quoque ad eundem modum correxi. — *κιχήσατο*, fort. rectius *'κιχήσατο*.

Fr. 74. Stob. Flor. CX. 10: *Ἀρχιλόχου* (A om. locum). — V. 1 affert Aristot. Rhet. III 17: *καὶ ὡς Ἀρχίλοχος ψέγει· ποιεῖ γὰρ τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς ἐν τῷ ἰάμβῳ· Χρημάτων δ' ἄελπτον κτλ.* (sed *δ'* om. Ac, qui deinde *ἃ ἔλιπον* exhibet). — V. 3. *μεσημβρίης* Schneidewin, v. *μεσημβρίας*. — V. 4. *λυγρὸν* libri, vitium subesse metrum arguit, *ὑγρὸν* Valckenaer, *ὠχρὸν* Bentley, fort. *ἀεργὸν*, olim conieci *ἡλίου λάμπον· στεννυγρόν*, Meineke *ἀκρὸν*, vel *ἡλίου λάμπον, θαλυκρόν*. — *δ'* om. Vind. a. m. pr. Respicit huc Plut. de facie in orbe lunae c. 19. — V. 5. *καὶ πιστὰ πάντα* Liebel, libri *οὐκ ἄπιστα πάντα*, unde *κἄπιστα πιστὰ* correxi olim, itaque Thiersch et Müller; Valckenaer *τοῦ δ' ἄπιστα πάντα*, Doederlein Opusc. II 194 *κἄπιστα πάντα*. Fort. leg. *κἄπιστ' ἀπαντᾷ*. — V. 6. *ὑμῶν*, Meineke *ἡμῶν* scripsit. — V. 7. *ὅταν* scripsi, *ἐὰν* Valckenaer, *ἵν' ἂν* Thiersch et Hermann, vulgo *ἵνα*. — V. 8. *σφιν*, Vind. *σφι*. — *ἠχέεντα* Meineke et sic ut vid. Vind., *ἠχήεντα* vulgo. — V. 9. vitium latet, facillima medela *τοῖσι δ' ἡδὺ ᾖ ὄρος* vel *τοῖσιν ἡδὺ ἦν ὄρος*, sed utrumque displicet, conieci *ὑλήειν* vel *ἠλύγιον* (*ὠλύγιον*) *ὄρος* et formam *ὑλήειν* testificatur Choeroboscus II 717, 23. Iacobs *τοῖσιν ἥδιον δ'*, Schneidewin *τοῖσιν ἁνδάνῃ δ'*, Emperius *τοῖσι δ' οὖρος ἥδιον*, Hartung *τοῖσι δ' ἡδονὴν ὄρος* (*δῷ*).

Fr. 75. Plut. de aud. poet. c. 6: *οἷον εὐθὺς ὁ Ἀρχίλοχος ὅταν μὲν εὐχόμενος λέγῃ· Κλῦθ' ἄναξ* (libri *κλῦθι*) *κτλ.*, *αὐτὸν τὸν θεὸν ἐπικαλούμενος δῆλός ἐστιν.* — V. 2. *ἵλαος*, Seidler coni. *ἵλεως*. — *γενοῦ*, *γενεῦ* Schneidewin.

Fr. 76. Athen. IV 180 E: *Τὸ γὰρ ἐξάρχειν τῆς φόρμιγγος ἴδιον· διόπερ ὁ μὲν Ἡσίοδός φησιν . . . καὶ ὁ Ἀρχίλοχος· Αὐτὸς κτλ.* — *Λέσβιον*, Hecker *Λύδιον* satis intempestive, et praeterea *αὖτις* praeoptat.

77. [38.]

Ὡς Διωνύσοι' ἄνακτος καλὸν ἐξάρξαι μέλος
οἶδα διθύραμβον, οἴνῳ συγκεραυνωθεὶς φρένας.

78. [1.]

. . . Πολλὸν δὲ πίνων καὶ χαλίκρητον μέθυ,
οὔτε τῖμον εἰσενεγκὼν . . . .
οὐτὲ μὴν κληθεὶς (ὑφ' ἡμῶν) ἦλθες, οἷα δὴ φίλος·
ἀλλά σ' (ἡ) γαστὴρ νόον τε καὶ φρένας παρήγαγεν
εἰς ἀναιδίην.

Fr. 77. Athen. XIV 628 A: *Φιλόχορος δέ φησιν, ὡς οἱ παλαιοὶ σπένδοντες οὐκ ἀεὶ διθυραμβοῦσιν, ἀλλ' ὅταν σπένδωσι, τὸν μὲν Διόνυσον ἐν οἴνῳ καὶ μέθῃ, τὸν δὲ Ἀπόλλωνα μεθ' ἡσυχίας καὶ τάξεως μέλποντες. Ἀρχίλοχος γοῦν φησίν· Ὡς Διωνύσοιο κτλ.* — V. 1. *Διωνύσοι'* scripsi, *Διωνύσου* Hermann, vulgo *Διωνύσοιο*, PVL *Διονύσοιο*. Respicit, ut Meinekio videtur, Callim. fr. 223: *τοῦ τε μεθυπλῆγος φροίμιον Ἀντιλόχου*, ubi *Ἀρχιλόχου* fuerit corrigendum.

Fr. 78. Athen. I 7 F: *Ὅτι περὶ Περικλέους φησὶν Ἀρχίλοχος ὁ Πάριος ποιητὴς ὡς ἀκλήτου ἐπεισπαίοντος εἰς τὰ συμπόσια Μυκονίων δίκην· δοκοῦσι δ' οἱ Μυκόνιοι διὰ τὸ πένεσθαι καὶ λυπρὰν νῆσον οἰκεῖν ἐπὶ γλισχρότητι καὶ πλεονεξίᾳ διαβάλλεσθαι· τὸν γοῦν γλίσχρον Ἰσχόμαχον Κρατῖνος Μυκόνιον καλεῖ· πῶς ἂν Ἰσχομάχου γεγονὼς Μυκονίου φιλόδωρος ἂν εἴης.* (Iam ea, quae subsequuntur, non Cratini, sed alius comici esse videntur.) *Ἀγαθὸς πρὸς ἀγαθοὺς ἄνδρας ἑστιασόμενος ἧκον· κοινὰ γὰρ τὰ τῶν φίλων. Πολλὸν δὲ πίνων καὶ χαλίκρητον μεθύων οὔτε* (ita BCD, *οὔτ' ἔτι* V, *οὔτε τι* L) *τῖμον* (B, *τίμον* LV) *εἰσήνεγκας* (*εἰσήνεγκους* V) *οὐδὲ μὴν κληθεὶς ἦλθες οἷα δὴ φίλος, ἀλλά σε γαστὴρ νόον* (BCD, *νῶν* V) *τε καὶ φρένας παρήγαγεν εἰς ἀναίδειαν Ἀρχίλοχος φησίν.* Itaque haec novissima omnia Ionici iambographi sunt: huc respicit Eustath. Il. 1148, 38: *μή τινα τῖμον εἰσενεγκών, εἰπεῖν κατ' Ἀρχίλοχον, ἀλλὰ δηλονότι ἀσύμβολον δεῖπνον. καὶ ἔστιν ὁ τῖμος κατὰ τὸ ὠνὴ ὦνος καὶ χολὴ χόλος.* Idem tamen parum sibi constat, siquidem p. 563, 27: *τιμὴ τῖμος παρὰ τῇ κωμῳδίᾳ τὸ τίμημα* (adde ib. 1222, 28 et Philemo, qui dicitur, p. 105) certe non abutendum est hoc testimonio, ut priores versus Archilocho abiudices. — V. 1. *μέθυ* Casaubonus, libri *μεθύων*. — V. 2. *εἰσενεγκών* scripsi, legebatur *εἰσήνεγκας*. — V. 3. *οὐδὲ*, Casaubonus *οὔτε*. — *ὑφ' ἡμῶν* adieci, Meineke scripsit *κληθεὶς* * *ἦλθες οἷα δὴ φίλος φίλοις*. — V. 4. *ἡ* addidit Porson. — V. 5. *ἀναιδίην* Dindorf, libri ut videtur *ἀναίδειαν* vel *ἀναιδείην*. Cum antea haec ad epodos retulissem, ut trimetri cum dimetris iambicis essent consociati, nunc Porsonum secutus in tetrametros redegi: ille autem partim aliter constituit, scripsit enim v. 2 et 3: *ἐσθίων θ' ὢν οὔτε τῖμον οὔ τιν' εἰσενήνοχας, οὔτε μὴν κληθεὶς ἐς ἡμᾶς ἦλθες κτλ.* — Iam quae Athenaeus ab initio dicit: *περὶ Περικλέους ὡς ἀκλήτου ἐπεισπαίοντος εἰς τὰ συμπόσια Μυκονίων δίκην*, de his ambigi potest: poterat enim ipse Athenaeus proverbio illo adhibito sententiam versuum Archilochiorum, quos subiecit, illustrare: sed veri similius videtur, haec quoque ex Archilochi isto iambo petita esse, ut Archilochi causa grammaticus proverbium illud explanaverit: neque tamen ipsa iambographi verba de-

79. 80. 81. 82. [47. 110.] 554

Ἐρασμονίδη Χαρίλαε, χρῆμά τοι γελοῖον
ἐρέω, πολὺ φίλταθ' ἑταίρων, τέρψεαι δ' ἀκούων.

*

Φιλέειν στυγνόν περ ἐόντα μηδὲ διαλέγεσθαι.

*

Ἀστῶν δ' οἱ μὲν κατόπισθεν ἧσαν, οἱ δὲ πολλοί.

*

Δήμητρί τε χεῖρας ἀνέξων.

scripsit, sed orationem conformavit ad exemplum comici poetae, quod servavit Suidas v. *Μυκώνιος γείτων*, ubi est: *καὶ παροιμία·*

Μυκονίων δίκην
ἐπεισπέπαικεν εἰς τὰ συμπόσια.

Archilochus fortasse scripserat:

ἀλλά σ' ἡ γαστὴρ νόον τε καὶ φρένας παρήγαγεν
εἰς ἀναιδίην ἀκλητὶ δεῦρο Μυκονίων δίκην
κωμάσαι.

Conferas versum, qui in proverbiis fertur (Zenob. II 46. Diog. I 60):

Ἀκλητὶ κωμάζουσιν εἰς φίλους φίλοι.

Etiam Hartung haec Epodis adscripsit ita conformata: *Πολλὸν δ. π. κ. χ. μ.* | *οὐ τῖμον εἰσηνέγκαο·* | *οὐ μὴν σὺ κληθεὶς ἦ, οἷα δ. φ.,* | *ἀλλ' ἐν Μυκωνίων δίκῃ·* | *γαστὴρ νόον γὰρ κ. φ. π.* | *ἡ μάργος εἰς ἀναιδίην.* quae cur improbanda sint, haud obscurum.

Fr. 79. 80. 81. 82. Hephaestio 47: *πρῶτος δ' Ἀρχίλοχος ἐχρήσατο τῷ μεγέθει τούτῳ ἐν τοῖς τετραμέτροις προτάξας αὐτὸ τοῦ ἰθυφαλλικοῦ· Τὸ γὰρ Ἐρασμονίδη Χαρίλαε·* (ed. Flor. *Χαρίλας*) . . . *Δήμητρί τε χεῖρας ἀνέξων* . . . *ἐρέω πολὺ φίλταθ' ἑταίρων* (A *πολυφίλταθ'*)*· καὶ πάλιν· φιλέειν στυγνόν περ ἐόντα.* Et auctius idem 83: *Πρῶτος δὲ καὶ τούτοις Ἀρχίλοχος κέχρηται* . . . *Ἐρασμονίδη Χαρίλαε, χρῆμά τοι γελοῖον* . . . *Ἀστῶν δ' οἱ μὲν κατόπισθεν ἧσαν, οἱ δὲ πολλοί.* et 86: *ὥσπερ Ἀρχίλοχος ἐν τῷ Ἐρασμονίδῃ* (Fl. BH *Ἑρμονίδη*) *Χαρίλαε.* et 87: *ὡς παρ' Ἀρχιλόχῳ· Ἀστῶν δ' οἱ μὲν κατόπισθεν.* et ibid.: *Ὑπονοήσειε δ' ἄν τις καὶ τρίτην διαφορὰν εἶναι τῷ Ἀρχιλόχῳ πρὸς τοὺς μετ' αὐτόν, καθ' ἣν ἀναπαίστῳ δοκεῖ τῷ πρώτῳ χρῆσθαι, Ἐρέω πολὺ φίλταθ' ἑταίρων, τέρψεαι δ' ἀκούων. Φιλέειν στυγνόν περ ἐόντα μηδὲ διαλέγεσθαι.* Verba *Ἐρασμονίδη Χαρίλαε* etiam afferuntur in Argum. metr. ad Pind. Pyth. IX et XII, cf. etiam ad Isthm. III et V. Et hoc quidem apparet versus *Ἐρασμονίδη κτλ.* et *ἐρέω κτλ.* coniungendos esse, sed etiam reliqui ex eodem carmine depromti esse videntur. — Fr. 81. *ἧσαν* scripsit Meineke, vulgo *ἦσαν*. Respicit Athen. X 415 D: *Ἀρχίλοχος δ' ἐν τετραμέτροις Χαρίλαν* (PVL *χειρίλαν*) *εἰς τὰ ὅμοια διαβέβληκεν, ὡς οἱ κωμῳδοποιοὶ τὸν Κλεώνυμον καὶ Πείσανδρον.* Cf. Eust. Od. 1630, 4. Aelian. Var. Hist. I 27 (ubi *Χαρίδαν*), atque etiam ap. Aristid. II 380 pro *Χειδὸν Charilai* nomen restituendum videtur.

83.

Ἕωθεν ἕκαστον ἔπινεν· ἐν δὲ βακχίῃσιν.

ΕΠΩι ΔΟΙ.

84. [68.]

Δύστηνος ἔγκειμαι πόθῳ
ἄψυχος, χαλεπῇσι θεῶν ὀδύνῃσιν ἕκητι
πεπαρμένος δι' ὀστέων.

85. [77.]

Ἀλλά μ' ὁ λυσιμελής, ὦ 'ταῖρε, δάμναται πόθος.

86. [59.]

Αἶνός τις ἀνθρώπων ὅδε,

Fr. 83. Gramm. Hamburgensis, cuius fragmentum edidit Welcker Opusc. IV 50 (Mus. Rhen. X 256), Schneidewin in Philol. X 350: τὰ παρὰ τῇ γραφῇ διαφορούμενα· εἰσὶ ταῦτα ἀργειφόντης· καὶ τύρος ἐν τηρήσας μέγαν ἀργύφαν· ἀργιφόντα· εἴκελος ἀστεροπῇ καὶ τὸ ἴκελος. ἀπόλεια· ἐμαυτὸν εἰς ἀπώλειαν οἰχήσομαι πλάτων· θάλεια· καὶ ἐν θαλίῃ γεγάνυνται. ἀλαζονεία· καὶ τὴν ἀλαζονίαν πλεῖστα παρέχει τῶν ἀνθρώπων ἀριστόξενος· βακχεῖα καὶ ἔξωθεν ἕκαστος· ἔπινεν ἐν δὲ βακχίῃ ἀρχίλοχος· ὀρθογραφία ταῦτα. quae fortasse ex Eugenio desumta sunt, quem Suidas testatur scripsisse περὶ τῶν εἰς ια ληγόντων ὀνομάτων, οἷον ἔνδεια ἢ ἐνδία, καὶ πότε διφορεῖται. Scripsi ἕωθεν pro ἔξωθεν, et βακχίῃσι pro βακχίῃ, quamquam versus etiam aliter redintegrari poterat: est autem ut videtur ex eodem carmine in Charilaum petitus, cuius reliquias Hephaestio servavit.

Fr. 84. Stob. Flor. LXIV 12: Ἀρχιλόχου (sic A, τοῦ αὐτοῦ Vind.). — V. 2. ἕκητι A Trinc., vulgo ἕκτη.

Fr. 85. Hephaest. 90: Τρίτον δέ ἐστι παρ' Ἀρχιλόχῳ ἀσυνάρτητον ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου. Ἀλλὰ κτλ. — λυσιμελής, codd. λυσιτελής. — 'ταῖρε, Fl ἑταῖρε. — πόθος, Turn. πάθος.

Fr. 86. Ammon. 6 ed. Valck.: Αἶνος καὶ παροιμία· ὁ μὲν γὰρ αἶνός ἐστι λόγος κατὰ ἀναπόλησιν μυθικὴν ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν πρὸς ἀνθρώπους εἰρημένος, ὥς φησι Λούκιος Ταρραῖος ἐν πρώτῳ παροιμιῶν, οἷον ἀπὸ μὲν ἀλόγων ζώων, ὡς παρ' Ἀρχιλόχῳ· Αἶνός τις . . . ἔθεντο· καὶ τὰ ἑξῆς. Eadem leguntur ap. Diogenian. Paroem. Praef. p. 178. Apostol. Praef. Walz. Rhett. II 11. Et. Gud. 19, 22. Et. Angel. editum a Ritsch. v. αἶνος. Choerob. in Ps. 114. Cram. An. Par. III 371, 13 (ubi om. v. 1), Sch. Hom. Od. ξ 508. Eust. Il. 855, 3. Od. 1768, 61. — V. 1. ὅδε, ὡς, Ammon. Eust. altero loco ὅδ' ὡς. — ὅδε om. Eust. priore l. Et Gud. Et. Aug. Sch. Od.

ὥς ἄρ' ἀλώπηξ καἰετὸς ξυνωνίην
ἔμιξαν.

* 87.

Ὁρᾷς ἵν' ἐστ' ἐκεῖνος ὑψηλὸς πάγος
τρηχύς τε καὶ παλίγκοτος,
ἐν τῷ κάθημαι σὴν ἐλαφρίζων μάχην.

88. [6.] 556

Ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος,

V. 2 affert Apollon. in Bekk. An. II 490. — ἄρ', ἄρ' Amm. Cram. An. Diog. Eust. — Post ἀλώπηξ add. τε Amm. — καἰετὸς, ap. Diog. καὶ αἰετὸς vel καὶ ἀετὸς, Et. Gud. Et. Ang. ἢ ἀετὸς, ἠδ' ἀετὸς Eust. altero loco, priore καὶ ἀετὸς. — ξυνωνίην, ξυνωνίαν Et. Gud. Ang. Choerob. Apollon., utrumque Schol. Od. — V. 3. ἔμιξαν Diog. Rhett. Walz. Schol. Od., ἔθεντο Amm. ceteri, Eust. altero loco ἔμιξαν ἢ καθ' ἑτέραν γραφὴν ἔθεντο. — Respiciunt praeterea ad boc carmen Schol. Il. τ 407. Philostr. Imag. p. 766 (381 ed. Kayser) cf. etiam Theo. Progymn. T. I 10. Schol. Arist. Av. 651. Priscian. II 430 ed. Keil. Ceterum Archilochum non tantum in duobus carminibus, in quibus fabulas de *aquila et vulpe* deque *vulpe et simia* illustravit, his involucris ad augendam acerbitatem usum esse, quod Schneidewin Huschkio auctore (in Miscellan. Philol. quae Matthiae edidit T. I p. 1 seqq.) statuit, docet Iulian. VII 227 A: ἀλλ' ὁ μὲν μῦθός ἐστι παλαιός, ἐφήρμοσας δὲ αὐτὸν σὺ πράγμασιν ἑτέροις· ὅπερ οἶμαι ποιεῖν εἰώθασιν οἱ τῇ τροπικῇ χρώμενοι τῶν νοημάτων κατασκευῇ. πολὺς δὲ ἐν τούτοις ὁ Πάριός ἐστι ποιητής. Atque alibi etiam vestigia fabularum supersunt, velut fr. 39 Βοῦς ἐστιν ἡμῖν κτλ. fabulae speciem refert, sive Aesop. 23 (95 ed. Halm.) sive aliam contuleris, et fr. 131: χολὴν γὰρ οὐκ ἔχεις ἐφ' ἥπατι, ubi vide quae dixi.

Fr. 87. Atticus ap. Euseb. Praep. Ev. XV 795 A: Ὁρᾷς . . . ἐν τῷ κάθηται σ. ἐλ. μάχην· ἐπὶ τοῦτον τὸν ὑψηλὸν πάγον τὸ δριμὺ καὶ πανοῦργον ἐκεῖνο θηρίον ἀνελθεῖν ἀδύνατον· ἵνα δὲ εἰς ταὐτὸν ἔλθῃ τοῖς ἀετοῦ γεννήμασιν ἀλώπηξ, ἢ τύχῃ τινὶ δεῖ χρησαμένους ἐκείνους πονηρᾷ καταπεσεῖν εἰς γῆν τῶν οἰκείων αὐτοῖς φθαρέντων, ἢ φύσασαν αὐτήν, ἃ μὴ πέφυκε φύειν, λαιψηρὰ κυκλῶσαι πτερὰ (hoc Euripidis potius esse videtur), καὶ οὕτως ἀρθεῖσαν ἐκ γῆς ἀναπτέσθαι πρὸς τὸν ὑψηλὸν πάγον. ἕως δ' ἑκάτερον ἐπὶ τῆς οἰκείας μένει τάξεως, οὐκ ἔνι κοινωνία τοῖς γῆς πρὸς τὰ οὐρανοῦ θρέμματα. *Archilocho* vindicavit Meineke. — V. 1. ἔστ', cod. Scor. ἔστιν, Schneidewin ἐστὶ κεῖνος. — V. 2. τρηχύς FGI, v. τραχύς. — παλίγκοτος, CFI et Scorial. πάλιν κότος. — V. 3. τῷ CD, v. ᾧ. — κάθημαι Meineke, legebatur κάθηται, quippe Atticus suae orationi accommodavit. — σὴν ἐλαφρίζων μάχην CDFG, ἐνιλαφρίζων μάχην EI, συνελαφρίζων Scorial., ὁ ἐνελαφρίζων ἑαυτὸν ὄρνις vulgo. Huc refero Hesych.: ἐλαφρίζων: παρασκευαζόμενος ῥᾳδίως. — μάχην, Schneidewin coni. μάνην. Ad hanc aquilae orationem respondere videtur vulpes versibus fr. 88.

Fr. 88. Stob. Ecl. Phys. I p. 122: Αἰσχύλου (sed A in m. Ἀντιλόχου)· Ὦ Ζεῦ κτλ. Archilocho vindicat Clem. Alex. Str. V 725: τοιαῦτα καὶ ὁ Πάριος Ἀρχίλοχος λέγει· ὦ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος, σὺ δ' ἔργα ἐπ' οὐρανοὺς ὁρᾷς λεωργὰ καὶ ἃ θέμις. inde Euseb. Praep.

σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς
λεωργὰ καὶ θεμιστά, σοὶ δὲ θηρίων
ὕβρις τε καὶ δίκη μέλει.

---

89. [60.].

Ἐρέω τιν' ὑμῖν αἶνον, ὦ Κηρυκίδη·
ἀχνυμένη σκυτάλη·
πίθηκος ᾔει θηρίων ἀποκριθείς
μοῦνος ἀν' ἐσχατιήν·
τῷ δ' ἄρ' ἀλώπηξ κερδαλέη συνήντετο
πυκνὸν ἔχουσα νόον.

Ev. XIII 687, nbi *ἐπ' ἀνθρώπους ὁρᾷς* (sic codd., vulgo *ὁρεῖς*, unde Schneidewin *ὁρεῖς*) *λεωργά τε καὶ ἀθέμιστα.* — V. 2. *ἐπ' ἀνθρώπων ὁρᾷς* scripsi cum Schneidewino, Stob. *ἐπ' οὐρανίων καὶ ἀνθρώπων ὁρᾷς.* — V. 3. *καὶ θεμιστὰ* Liebel, ap. Stob. A *καθέμιστας, οἱ δὲ θ.*, H *καὶ θέμιτας οἱ*, Canter *καθέμιτας.*

